ADNOTATIONES CRITICAE

IN LONGINI

QVI FERTVR *ΠΕΡΙ ΥΨΟΥΣ*

LIBELLVM.

DISSERTATIO INAVGVRALIS

GRAECE SCRIPTA

QVAM

AMPLISSIMO PHILOSOPHORVM MARBVRGENSIVM ORDINI

AD

SUMMOS IN PHILOSOPHIA HONORES

RITE CAPESSENDOS

OBTVLIT

ANTONIVS JANNARAKIS

CRETENSIS.

MARBVRGI CATTORVM

MDCCCLXXX.

ADNOTATIONES CRITICAE
IN LONGINI
QVI FERTVR *ΠΕΡΙ ΥΨΟΥΣ*
LIBELLVM.

DISSERTATIO INAVGVRALIS

GRAECE SCRIPTA

QVAM

AMPLISSIMO PHILOSOPHORVM MARBVRGENSIVM ORDINI

AD

SVMMOS IN PHILOSOPHIA HONORES

RITE CAPESSENDOS

OBTVLIT

ANTONIVS JANNARAKIS

CRETENSIS.

MARBVRGI CATTORVM

MDCCCLXXX.

ΕΙΣ ΤΟ

ΠΕΡΙ ΥΨΟΥΣ

ΛΕΓΟΜΕΝΟΝ ΒΙΒΛΙΟΝ

ΚΡΙΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

ΑΝΤΩΝΙΟΥ ΓΙΑΝΝΑΡΑΚΗ

ΚΡΗΤΟΣ.

ΤΩι

ΕΝ ΜΑΡΒΟΥΡΓΗι

ΚΑΘΗΓΗΤΗι

ΙΟΥΛΙΩι ΚΑΙΣΑΡΙ

ΕΥΧΑΡΙΣΤΩΣ

ΠΡΟΣΦΩΝΕΙΤΑΙ.

ΛΕΞΕΙΣ ΣΥΝΤΕΤΜΗΜΕΝΑΙ

κεφ.	σημαίνει	κεφάλαιον *(caput).*
σελ.	„	σελίς *(pagina).*
κτλ.	„	καὶ τὰ λοιπά *(et cetera).*
πρβ.	„	παράβαλε *(confer).*
ὅ ἐ.	„	ὅ ἐστι *(id est).*

Ἐν τῇ βραχείᾳ ταύτῃ πραγματείᾳ λόγος ἡμῖν περὶ βιβλίου ἔσται, οὗ ὁ συγγραφεὺς ὁ χρόνος τῆς συγγραφῆς καὶ ἡ ἐπιγραφὴ αὐτὴ σχεδὸν εἰπεῖν ἄγνωστα ἔτι διατελεῖ[1]. τοῦτο μόνον τὰ νῦν ὁμολογεῖται ὅτι ὁ τὸ ΠΕΡΙ ΥΨΟΥΣ βιβλίον συγγράψας οὐχ ὁ Λογγῖνος ὁ ἐν τῷ τρίτῳ μετὰ Χριστὸν αἰῶνι ἀκμάσας ἀλλ᾽ ἡλικιώτης τις καὶ ἀντίτεχνος Καικιλίῳ τῷ τεχνογράφῳ γέγονε, τὴν δὲ γνώμην ταύτην πρῶτος ὁ Ἰταλὸς Amati ἐν ἔτει ᾳωη εἰς τὸ φῶς προήνεγκεν. ποδαπὸς μέντοι ὁ ἀληθὴς συγγραφεύς, τί δ᾽ αὐτῷ ὄνομα καὶ ποῦ διατρίβων τὴν περὶ ὕψους πραγματείαν συνετάξατο, οὔπω οἱ λόγιοι διωρίσαντο. οἱ μὲν γὰρ αὐτῶν τὸ συγγραμμάτιον εἰς Διονύσιον τὸν Ἁλικαρνασέα, οἱ δὲ εἰς Διονύσιον τὸν Περγαμηνὸν ἀναφέρουσιν, ἔστιν οἳ δ᾽ αὐτὸ καὶ τῷ Πλουτάρχῳ διὰ τὴν περὶ τὴν λέξιν ὁμοιότητα προσάπτουσιν. ἡμῖν δ᾽ οὖν ἐκ τῆς ὅλης συγγραφῆς συμβαλλομένοις ὁ ἡμέτερος τεχνογράφος δοκεῖ που τῆς Μεγάλης Ἑλλάδος διαγαγεῖν, πιθανώτατα δ᾽ ἐν αὐτῇ τῇ Σικελίᾳ. γράφων γὰρ πρὸς τὸν Ῥωμαῖον Ποστούμιον Ταρεντιανόν, μεθ᾽ οὗ τὸ τοῦ Σικελιώτου Καικιλίου περὶ ὕψους συγγραμμάτιον κοινῇ ἀνεσκέψατο, ὡς οἰκείῳ αὐτῷ χρή-

---

[1] Τὸ παλαιότατον τοῦ βιβλιδίου τούτου χειρόγραφον ἀπόκειται ἐν Παρισίοις (*codex parisinus* 2036), προσηρτημένον τῷ τοῦ Ἀριστοτέλους συγγράμματι *φυσικὰ προβλήματα*. τοῦτο δὲ τὸ χειρόγραφον, ἐν τῷ δεκάτῳ μετὰ Χριστὸν αἰῶνι γεγραμμένον, πρωτότυπόν ἐστι πάντων τῶν λοιπῶν ἀντιγράφων.

ται καὶ οἷον πρὸς συνδιατρίβοντά τινα λαλεῖ [1], ἔσθ' ὅπου δὲ καὶ Ἕλληνα ἑαυτὸν ἐν τῇ ξένῃ διάγοντα ὑπεμφαίνει [2], καὶ δὴ ἐν Ἰταλίᾳ, ὡς εἰκάσαι, οὐ μέντοι ἐν τῇ Ῥώμῃ αὐτῇ. ὁ γὰρ πρὸς αὐτὸν ἔναγχος διαλεγόμενος φιλόσοφος [3] οὐχ ἑώρακε, μόνον δ' ἀκήκοε περὶ τοῦ ἐν Ῥώμῃ ἔθους τῆς ἐν γλωττοκόμοις τροφῆς τῶν νάνων [4], ὅπερ σαφῶς δηλοῖ ὅτι ἀμφότεροι οἱ διαλεγόμενοι ὀλίγῳ πρὸ τῆς περὶ ὕψους συγγραφῆς μακρὰν τῆς Ῥώμης διέτριβον.

Φανερός δ' ἐστὶν ὁ ἡμέτερος τεχνογράφος τὴν περὶ ὕψους πραγματείαν οὐ τῶν πολλῶν χάριν ἀλλ' οἱονεὶ ἐπιστολῆς δίκην συνταξάμενος, κελεύσαντος Ταρεντιανοῦ [5], ἀνδρὸς ὡς ἔοικε φιλομούσου αὐτῷ δ' οἰκειοτάτου [6]. γράφων δὲ μᾶλλον κατὰ Καικιλίου ἰδίᾳ, οὗ πανταχοῦ σχεδὸν καθάπτεται, ἢ πρὸς τοὺς πολλούς, ἥκιστα τηρεῖ τὴν δικαίῳ τεχνογράφῳ πρέπουσαν ἐπιείκειαν καὶ ἀπάθειαν.

---

[1] κεφ. 1, 1 ἀνασκοπουμένοις ἡμῖν ὡς οἶσθα κοινῇ, Ποστούμιε Ταρεντιανὲ φίλτατε. 1, 4 καὶ 4, 3 Ταρεντιανὲ ἥδιστε, κτλ.

[2] τοῦτο οὐ μόνον ἔκ τινων χωρίων, οἷον 12, 4 λέγω δὲ εἰ καὶ ἡμῖν ὡς Ἕλλησιν ἐφεῖταί τι γινώσκειν ὑποδηλοῦται, ἀλλὰ καὶ ἐκ τῆς ὅλης πραγματείας σαφέστερον φαίνεται. λέγων γὰρ περὶ ὕψους πολὺς τῷ Σικελιώτῃ Καικιλίῳ ἔγκειται, ὅπερ παρὰ συγχρόνοις, μάλιστα δ' ἐπιχωρίοις ἀντιπάλοις συμβαίνειν εἴωθε, τῶν ἡλικιωτῶν ὡς τὰ πολλὰ ἐμπαθέστερον ἀλλήλων καθαπτομένων.

[3] κεφ. 44, 1 ὅπερ ἐζήτησέ τις τῶν φιλοσόφων πρός με ἔναγχος.

[4] κεφ. 44, 5 ὥσπερ οὖν — εἴγε ... τοῦτο πιστόν ἐστιν ἀκούω [ἀκούειν; πρβ. κατωτέρω κεφ. 44, 5] — τὰ γλωττόκομα, ἐν οἷς οἱ πυγμαῖοι, καλούμενοι δὲ νᾶνοι, τρέφονται.

[5] κεφ. 1, 2 ἐπεὶ δ' ἐνεκελεύσω καὶ ἡμᾶς τι περὶ ὕψους πάντως εἰς σὴν ὑπομνηματίσασθαι χάριν.

[6] ἡ φράσις ἀνασκοπουμένοις ἡμῖν κοινῇ δηλοῖ τρανότατα εἰ μὴ ὁμότεχνον ἀλλὰ φιλότεχνόν γε καὶ φιλόμουσον ὁμόφρονα, συμμελετήσαντα δὲ τὸ περὶ ὕψους τοῦ Καικιλίου συγγραμμάτιον. πρβ. τὸ κατωτέρω 1, 3 γράφων δὲ πρὸς σέ, φίλτατε, τὸν παιδείας ἐπιστήμονα σχεδὸν ἀπήλλαγμαι κτλ. καὶ κατωτέρω 1, 4 ταῦτα οἶμαι καὶ τὰ παραπλήσια, Ταρεντιανὲ ἥδιστε, κἂν αὐτὸς ἐκ πείρας ὑφηγήσαιο.

Μαρτυρεῖ δὲ τὸ πάθος τοῦτο καὶ ἡ ζηλοτυπία, οἷς ὁ ἡμέτερος τῷ ἀντιτέχνῳ Καικιλίῳ σχεδὸν πανταχοῦ πρόσκειται, ὅτι τὸ τοῦ ἡμετέρου τεχνογράφου βιβλίον περὶ τῆς αὐτῆς ὑποθέσεως πραγματευόμενον τῷ αὐτῷ ὀνόματι — λέγω δὲ ΠΕΡΙ ΥΨΟΥΣ, ὡς κἀν τοῖς χειρογράφοις μετὰ παραλλαγῶν φέρεται καὶ ἄλλοθέν ἐστιν εἰκάσαι [1] — ἐπιγεγραμμένον ἂν εἴη· οὐ μὴν ἀλλ' αὐτὸ τοῦτο πάλιν καὶ ὑπὲρ τοῦ ἐναντίου ἂν ἀποφήναιτο. ὑποψίαν γὰρ ἐμποιεῖ ἡμῖν μὴ ἄρα ὁ ἀκριβέστερον δήπου ὑπόθεσίν τινα πραγματευσάμενος καὶ ἀκριβεστέρᾳ πως καὶ προσφυεστέρᾳ τινὶ ἐπιγραφῇ χρήσασθαι προείλετο, καταφρονήσας ὑπὸ τοῦ πάθους καὶ αὐτῆς τῆς ἐπιγραφῆς τοῦ ἀτελοῦς νομιζομένου καὶ ταπεινοῦ [2] τοῦ ἀντιτέχνου συγγράμματος. πλὴν γὰρ τῆς ἀπορίας εἰς ἣν ἐμβάλλει ἡμᾶς γε ἡ τῶν σωζομένων χειρογράφων ἀκροστιχίς, πολλαχοῦ τῷ Καικιλίῳ ἐντυγχάνομεν διασυρομένῳ καὶ κακιζομένῳ, ἅτε τὰς εἰς τὸ ὕψος προαγούσας μεθόδους καὶ πηγὰς παραλιπόντι ἰδίᾳ δὲ τοῦ πάθους ὀλιγωρήσαντι [3] τοῦ συχνὰ τῷ ὕψει ὁμοταγοῦς παρατασσομένου ὑπὸ τοῦ ἡμετέρου [4]. τούτοις δὲ τοῖς μαρτυρίοις, τοῖς τῆς φερομένης ἐπιγραφῆς οἱονεὶ καταμαρτυροῦσι, παράκειται ἄλλο τεκμήριον καταφωρῶν πως τὸ ψευδεπίγραφον αὐτῆς, ἔστι δὲ τοῦτο ἡ λέξις ΥΨΗ-

---

[1] οἷον κεφ. 1, 2 ἐπεὶ δ' ἐνεκελεύσω καὶ ἡμᾶς τι περὶ ὕψους πάντως εἰς σὴν ὑπομνηματίσασθαι χάριν.

[2] οὗτος γάρ, ὁ Καικίλιος λέγω, 1, 1 ποῖον μέν τι ὑπάρχει τὸ ὑψηλὸν διὰ μυρίων ὅσων ὡς ἀγνοοῦσι πειρᾶται δεικνύναι, τὸ δὲ δι' ὅτου τρόπου τὰς ἑαυτῶν φύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδοσιν, οὐκ οἶδ' ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν. καὶ 1, 1 τὸ τοῦ Καικιλίου συγγραμμάτιον, ὃ περὶ ὕψους συνετάξατο, ἀνασκοπουμένοις ἡμῖν . . . ταπεινότερον ἐφάνη τῆς ὅλης ὑποθέσεως καὶ ἥκιστα τῶν καιρίων ἐφαπτόμενον, οὐ πολλήν τε ὠφέλειαν, ἧς μάλιστα δεῖ στοχάζεσθαι τὸν γράφοντα, περιποιοῦν τοῖς ἐντυγχάνουσιν.

[3] κεφ. 1, 1 τὸ δὲ δι' ὅτου τρόπου τὰς ἑαυτῶν φύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδοσιν οὐκ οἶδ' ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν. πρβ. καὶ κατωτέρω σελ. 13.

[4] ἔπιθι τὰ κατωτέρω σελ. 12 καὶ 13.

ΓΟΡΙΑ, ᾗ που χρῆται ὁ συγγραφεὺς ὅλην τὴν ὑπόθεσιν ἐμφανῶς περιλαμβάνων [1].

Τοσαῦτα προοιμιασάμενοι ἴωμεν ἤδη ἐπὶ τὸ κύριον ἡμῶν ὑποκείμενον, λέγω δὲ τὴν ἐξέτασιν τοῦ κειμένου. ὡς τοῦτο ἡμῖν παραδέδοται, πλὴν τῶν πολλῶν καὶ μεγάλων χασμάτων, οἷς τὸ ὅλον πεπήρωται, οὐκ ὀλίγα χωρία διεφθαρμένα τε καὶ παραμεμορφωμένα περιέχει καίπερ πολλοῖς ἤδη ἀνδράσιν, ὧν τινες σοφώτατοι, ἐπιδιεσκευασμένον. τοιαῦτά τινα χωρία διασαφῆσαι ἐπιχειροῦντες ἐν τοῖς ἑπομένοις ὑποτίθεμεν τὴν νεωτάτην τῶν ἐκδόσεων, λέγω δὲ τὴν τοῦ Otto Iahn· αὕτη γάρ, καίτοι παρ᾽ ἐλπίδας πολλαχῶς ἡμαρτημένη περὶ τὸν τύπον, ὅμως γε μέντοι εὐμεταχείριστός ἐστιν ἅτε τὰ πορίσματα πασῶν τῶν μέχρι τοῦ νῦν ποικίλων μελετῶν ἐν μικρῷ χώρῳ εὐσυνόπτως περιέχουσα. πρὸς τούτοις ἀνεσκοπήκαμεν τὰς γνωστὰς ἡμῖν τυγχανούσας ὑστέρας τῆς ἐκδόσεως ταύτης πραγματείας καὶ εἴ τι ἄλλο περὶ τούτου σεσημείωται [2].

---

[1] κεφ. 8, 1 ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται. τὰς πέντε ταύτας πηγὰς ἀπαριθμήσας διαρρήδην λέγει ἡμῖν ὅτι περὶ αὐτῶν τούτων ἐν τῇ πραγματείᾳ ὁ λόγος ἔσται· „φέρε δή φησι τὰ ἐμπεριεχόμενα καθ᾽ ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Καικίλιος ἔστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος ἀμέλει (πρβ. 14, 1 καὶ 34, 4). τοῦτο τὸ ΥΨΗΓΟΡΙΑ ἀνταποκρίνεται τῷ ἐν τῷ φλωρεντιανῷ χειρογράφῳ φερομένῳ ΠΕΡΙ ΥΨΟΥϹ ΛΟΓΟΥ. πρβ. πρὸς τούτοις καὶ 10, 1 φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν τοὺς λόγους δυνάμενον, ἐπισκεψώμεθα.

[2] τοιούτων πονηματίων γνωστά ἐστιν ἡμῖν A. Winkler, *de libello qui fertur περὶ ὕψους* (*diss.* 1870, *Halis*)· L. Martens, *de libello περὶ ὕψους* (*diss.* 1877, *Bonnae*)· πρὸς δὲ V. de Wilamowitz-Moellendorff *in libellum περὶ ὕψους coniectanea* (Hermes x *p.* 334 *sqq.*)· H. de Rohden, *Commentationes in honorem Francisci Buecheleri, Hermanni Vseneri editae a societate philologa Bonnensi*, *p.* 68 *sqq.* (1873, *Bonnae*)· H. Diels,

Ἐν κεφαλαίῳ 1, 4 ἀναγινώσκομεν·

καὶ τὴν μὲν ἐμπειρίαν τῆς εὑρέσεως καὶ τὴν τῶν πραγμάτων τάξιν καὶ οἰκονομίαν οὐκ ἐξ ἑνὸς οὐδ' ἐκ δυεῖν, ἐκ δὲ τοῦ ὅλου τῶν λόγων ὕψους μόλις ἐκφαινομένην ὁρῶμεν, ὕψος δέ που καιρίως ἐξενεχθὲν τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφόρησεν καὶ τὴν τοῦ ῥήτορος εὐθὺς ἀθρόαν ἐνεδείξατο δύναμιν.

τὸ μὲν *ὕψους* ἐνταῦθα παρόραμά ἐστι τυπογραφικὸν ἀντὶ *ὕφους* ὡς καὶ ἄλλα τινὰ λόγου ἄξια, οἷα τὰ ἐν κεφ. 23, 3 *παρετεθείμεθα* ἀντὶ *παρατεθείμεθα* (τοῦτο καὶ παρὰ τῷ Spengel πεπλημμέληται), 35, 4 *γηγενοῦς ἐκείνου* [ἐκ διορθώσεως τοῦ ἐν τῷ χειρογράφῳ φερομένου *τοῦ γένους ἐκείνου*] ἀντὶ *τοῦ γηγενοῦς ἐκείνου*· οὕτω γραπτέον 43, 1 *ἄσεμνον γὰρ τὸ κοπάσαι καὶ ἰδιωτικόν* [1]. ἴσως δὲ καὶ τὸ 41, 1 *κατάρυθμα* ἀντὶ *κατάρρυθμα*· οὐκ ἂν ἄμεινον εἴη καὶ τὸν ἐν κεφαλαίῳ 39, 4 πινδαρικὸν τύπον *τέτρασι* ἀναγινώσκειν *τέτταρσι*; δεινότατον μέντοι παρόραμά ἐστι τὸ ἐν κεφ. 35, 2, ἔνθα στίχος ὅλος παρελείφθη, δηλαδὴ *ὅτι ἡ φύσις οὐ ταπεινὸν ἡμᾶς ζῷον οὐδ' ἀγεννὲς ἔκρινε, ⟨τὸν ἄνθρωπον, ἀλλ' ὡς εἰς μεγάλην τινὰ πανήγυριν εἰς⟩ τὸν βίον κτλ.* [2].

Τὸ δὲ *διεφόρησε* πλημμελῶς ἔχει, ὡς καὶ ὁ E. Rohde [3] ἔναγχος ἐσημειώσατο. οὐ γὰρ περὶ κεραυνοῦ διαφο-

---

Hermes XIII (1878) *p.* 5 *sq.* E. Rohde, Rheinisches Museum XXXV, 2 (1880) *p.* 309 *sq.*

[1] ἀντὶ τοῦ *ἄσεμνον γὰρ τὸ κοπάσαι ἰδιωτικόν*, ὃ καὶ παρὰ τῷ Spengel ἄνευ τοῦ *καὶ* φέρεται. τοῦτο ἀγνοῶν ὁ Wilamowitz-Moellendorff περιττὰ ἐσημειώσατο (Hermes, Band X, p. 336), τὸ αὐτὸ δὲ καὶ H. de Rohden ἐν ταῖς περὶ χασμωδίας θεωρίαις αὐτοῦ δὶς πέπονθε (*commentationes in honorem F. Buecheleri, H. Vsceneri, p.* 69 *et* 76).

[2] τὸ τυπογραφικὸν τοῦτο σφάλμα ἐσημειώσατο ἤδη Wilamowitz-Moellendorff, Hermes X σελ. 338, καὶ ὁ L. Martens, *de libello περὶ ὕψους* (*diss.* 1878, *Bonnae*) σελ. 36.

[3] Rheinisches Museum XXXV, 2. 1880.

ροῦντος ὅ ἐ. καταθραύοντος καὶ διασφενδονῶντος τὰ πάντα ὁ λόγος ἐνταῦθα — τοῦτο νὴ Δία ἥκιστα ἀρετὴ ἂν εἴη — ἀλλὰ περὶ τοῦ φωτίζοντος καὶ λάμποντος σκηπτοῦ, ὅπερ καὶ ἐκ τῶν παρακειμένων ἐκφαινομένην καὶ ἐνεδείξατο σαφῶς φαίνεται. γραπτέον ἄρα ὡς καὶ ὁ Rohde παρῄνεσε, *τά τε πράγματα δίκην σκηπτοῦ πάντα διεφώτισεν καὶ τὴν τοῦ ῥήτορος κτλ.*

Κεφ. 2, 1 *ἡμῖν δ' ἐκεῖνο διαπορητέον ἐν ἀρχῇ εἰ ἔστιν ὕψους τις ἢ βάθους τέχνη, ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα· γεννᾶται γάρ, φασί* [*φησί* ἐν τῷ χειρογράφῳ τῶν Παρισίων], *τὰ μεγαλοφυῆ καὶ οὐ διδακτὰ παραγίνεται καὶ μία τέχνη πρὸς αὐτά, τὸ πεφυκέναι· χείρω τε τὰ φυσικὰ ἔργα, ὡς οἴονται, καὶ τῷ παντὶ δειλότερα καθίσταται ταῖς τεχνολογίαις κατασκελετευόμενα. ἐγὼ δὲ ἐλεγχθήσεσθαι τοὖθ' ἑτέρως ἔχον φημὶ κτλ.*

καὶ ἄλλοι πρὸ ἡμῶν ἐσημειώσαντο τὴν διόρθωσιν *πάθους* ἀντὶ *βάθους*. ὁ μεταγράφων, ὃς οὔτε τὴν ὑπόθεσιν τοῦ βιβλίου οὔτε τὴν ἐπιγραφὴν ἐγίνωσκεν, ἐντυχὼν ἀπροσδοκήτως τῇ λέξει *πάθος* παρὰ τῇ λέξει *ὕψος* ἔτρεψεν εἰκότως τὴν φράσιν *ὕψους ἢ πάθους*, εἰς τὴν λογικωτέραν φαινομένην *ὕψους ἢ βάθους*, ἐκλαβὼν τὸ *πάθους* παρόραμα. ὅτι δὲ τὸ *ὕψους τις ἢ πάθους* ὑγιῶς ἔχει σαφέστατα καὶ ἐκ τῶν ἑπομένων δείκνυται· κεφ. 8, 1 ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται . . . πρῶτον μὲν καὶ κράτιστον τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον, δεύτερον δὲ τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος. ἔτι δὲ κεφ. 8, 2 τό τε ὕψος καὶ τὸ παθητικόν. 12, 1 δύναται γὰρ ἀμέλει καὶ ὕψους καὶ πάθους καὶ τρόπων εἶναι κοινὸς οὗτος ὁ ὅρος. 16, 2 εἰς ὑπερβάλλον ὕψος καὶ πάθος. 17, 2 τὸ τοίνυν ὕψος καὶ πάθος τῆς ἐπὶ τὸ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία καθίσταται· ἔτι δὲ αὐτόθι οὐκοῦν καὶ τῶν λόγων τὰ πάθη καὶ τὰ ὕψη. 32, 4 τὰ εὔ-

καιρα καὶ σφοδρὰ πάθη καὶ τὸ γενναῖον ὕψος. πρβ. καὶ 44, 12 ἣν δὲ ταῦτα τὰ πάθη περὶ ὧν [ἐν ἰδίῳ προηγουμένως ὑπεσχόμεθα[1] γράψειν ὑπομνήματι κτλ.]. ἀτόπως ἄρα ὁ νεώτατος ἐκδότης O. Iahn τὸ ἐν λόγῳ *βάθους* (πάθους) ὀβελίζει, ἄλλως τε τούτου καὶ ὑπὸ τοῦ ἑπομένου τὰ τοιαῦτα διαρρήδην ἀπαγορευομένου.

Χωρῶν ἐπὶ τὰ πρόσω ὁ ἡμέτερος τεχνογράφος μέμφεται τοὺς εἰς τὸ πεφυκέναι ἀνάγοντας καὶ οὐ διδακτὰ τὰ μεγαλοφυῆ ἡγουμένους λέγων· *ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα.* ἐνταῦθα οὐ μόνον ὁ νοῦς ἀλλὰ καὶ τὰ ῥήματα ἄλλου τινός ἐστιν, ὅπερ καὶ τῇ φράσει *δειλότερα καθίσταται* ὑποδηλοῦται, ἅτε τοῦ ἡμετέρου ἐπὶ τῆς αὐτῆς ἐννοίας τῇ λέξει *ταπεινότερα* (οἷον 1, 1. 43, 2. πρβ. καὶ 3, 4. 40, 2. 43, 6) ἢ *καταδεέστερα* (18, 1) χρωμένου. τίνος δ' ἄρα ῥήματά ἐστι ταῦτα; ὁ γινώσκων τὰ τῷ ἡμετέρῳ καὶ Καικιλίῳ ἐνθυμούμενος δὲ καὶ τόδε τὸ περὶ ὑψηγορίας βιβλίον μᾶλλον κατὰ Καικιλίου ἢ ὑπὲρ τῶν πολλῶν γεγράφθαι (πρβ. ἀνωτέρω σελ. 8) ἀνεγνωκὼς τὰ ἀλλαχοῦ λεγόμενα οὐκ ἂν ἀπορήσειε τὸν ἄξιον μομφῆς ὑπολαμβανόμενον ἐξευρεῖν.

ἀκουέσθω δ' ἡμῖν ταῦτα· κεφ. 8, 1 ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται... πρῶτον μὲν καὶ κράτιστον τὸ περὶ τὰς νοήσεις ἁδρεπήβολον ... δεύτερον δὲ τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος κτλ. — φέρε δὴ τὰ ἐμπεριεχόμενα καθ' ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Καικίλιος ἔστιν ἃ παρέλιπεν ὡς καὶ τὸ ΠΑΘΟΣ ἀμέλει. ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ παθητικόν, καὶ ἔδοξεν αὐτῷ πάντη συνυπάρχειν τε ἀλλήλοις καὶ συμπεφυκέναι διαμαρτάνει[2]. 1, 1 πῶς

---

[1] ποῦ δέ; μὴ ἄρα ἐν τοῖς ἐλλείπουσι κεφαλαίοις;

[2] πρβ. τὸ ἀνωτέρω (2, 2) ἐγὼ δὲ ἐλεγχήσεσθαι τοῦθ' ἑτέρως ἔχον φημί καὶ τὸ κατωτέρω (8, 4) πάνυ διηπάτηται, οἷς τὸν Καικίλιον ἀεὶ διαμαρτάνοντα ἐλέγχει.

ἂν ἡμῖν αὐτὸ τοῦτο καὶ δι' ὧν τινων μεθόδων κτητὸν γένοιτο, ὅμως ὁ Καικίλιος ποῖον μέν τι ὑπάρχει τὸ ὑψηλὸν διὰ μυρίων ὅσων ὡς ἀγνοοῦσι πειρᾶται δεικνύναι, τὸ δὲ δι' ὅτου τρόπου [1] τὰς ἑαυτῶν φύσεις προάγειν ἰσχύοιμεν ἂν εἰς ποσὴν μεγέθους ἐπίδοσιν οὐκ οἶδ' ὅπως ὡς οὐκ ἀναγκαῖον παρέλιπεν. 8, 4 εἰ δ' αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ὁ Καικίλιος τὸ ἐμπαθὲς τὰ ὕψη ποτὲ συντελεῖν καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διηπάτηται. θαρρῶν γὰρ ἀφορισαίμην ἂν [2] ὡς οὐδὲν οὕτως ὡς τὸ γενναῖον πάθος, ἔνθα χρή, μεγαληγόρον ἐστὶ κτλ.

Ταῦτα πάντα συμπαραβάλλοντες καὶ ἀντεξετάζοντες ἀποφαινόμεθα ἀνενδοιάστως ὅτι καὶ τὰ ἐν τῷ ἡμετέρῳ χωρίῳ ἀόριστα αἰνιγμὸς τοῦ Καικιλίου ἐστί, διόπερ καὶ ἀναγινώσκομεν τὸ ὅλον ὡς ἑξῆς·

ἡμῖν δ' ἐκεῖνο διαπορητέον ἐν ἀρχῇ, εἰ ἔστιν ὕψους τις ἢ πάθους τέχνη, ἐπεί τινες ὅλως οἴονται διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα. „γεννᾶται γάρ“ φασί „τὰ μεγαλοφυῆ καὶ οὐ διδακτὰ παραγίνεται, καὶ μία τέχνη πρὸς αὐτά, τὸ πεφυκέναι· χείρω τε τὰ φυσικὰ ἔργα“ ὡς οἴονται „καὶ τῷ παντὶ δειλότερα καθίσταται ταῖς τεχνολογίαις κατασκελετευόμενα.“ ἐγὼ δὲ ἐλεγχθήσεσθαι τοὖθ' ἑτέρως ἔχον φημί κτλ.

ἡ γενναία αὕτη ῥῆσις δεικνύει τὴν περὶ μεγαλοφυίας ὑγιᾶ γνώμην τοῦ Καικιλίου οὐκ ἀναξίαν δὲ ὅλως καὶ τῆς τοῦ ἡμετέρου τεχνογράφου ζηλοτυπίας.

Κεφ. 2, 3 *τὸ δὲ κυριώτατον ὅτι καὶ αὐτὸ τὸ εἶναί τινα τῶν ἐν λόγοις ἐπὶ μόνῃ τῇ φύσει οὐκ ἄλλοθεν ἡμᾶς ἢ παρὰ τῆς τέχνης ἐκμαθεῖν δεῖ.*

---

[1] τοῦτ' ἔστι τὴν μέθοδον καὶ τέχνην, καθ' ἧς ὁ Καικίλιος ἀπεφήνατο γνώμην εἰπὼν διηπατῆσθαι τοὺς τὰ τοιαῦτα ἄγοντας εἰς τεχνικὰ παραγγέλματα τὰ ταῖς τεχνολογίαις κατασκελετευόμενα.

[2] πρβ. τὸ ἐν τῷ ἡμετέρῳ χωρίῳ ἐγὼ δ' ἐλεγχθήσεσθαι τοῦθ' ἑτέρως ἔχον φημί.

τὸ *εἶναί τινα τῶν ἐν λόγοις*, ἅτε τῆς γενικῆς *τῶν ἐν λόγοις* ἀπροσωπόν τι καὶ ἄψυχον ἐμφαινούσης, παραφθορὰ φαίνεται ὂν τοῦ *τινα δυνατὸν ἐν λόγοις* (τινὰ τῶν — δυνατόν), τοῦ καὶ παρ' αὐτοῖς τοῖς δοκίμοις εὐχρηστοτάτου[1]. ἡ αὐτὴ ἔννοια ἐντονώτερον ἐξενηνεγμένη εὕρηται καὶ κατωτέρω 8, 1 προϋποκειμένης ὥσπερ ἐδάφους τινὸς κοινοῦ τῆς ἐν τῷ λέγειν δυνάμεως. πρβ. καὶ 36, 1 τῶν ἐν λόγοις μεγαλοφυῶν.

Σημείωσις. Ἐνταῦθα ἕπεται ἔνθεόν τι λείψανον τῆς ἀπολωλυίας τραγῳδίας Αἰσχύλου „Ὠρειθυίας", περὶ ἧς Ἰωάννης ὁ Σικελιώτης ἀποφαίνεται τὴν γνώμην τήνδε·

φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ ⟨Αἰσχύλου⟩ *μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν — οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβικὰ ἐπιλαθόμενος. διὸ καὶ Σοφοκλῆς μιμεῖται*[2].

γραπτέον *μωμεῖται*· γνωστὰ τυγχάνει τὰ παροιμιώδη πολλὰ μωμεῖσθαι ῥᾷόν ἐστιν ἢ μιμεῖσθαι· ὅμοιά ἐστι καὶ τὰ μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται, τηρουμένης εἰκότως καὶ ἐν τῷ ἐνεστῶτι χρόνῳ τῆς παρονομασίας μωμεῖταί τις μᾶλλον ἢ μιμεῖται. πρβ. Λουκ. πῶς δεῖ ἱστορ. συγγράφ. 33 καὶ ὃ οὐδεὶς ἄν, ἀλλ' οὐδ' ὁ Μῶμος, μωμήσασθαι δύναιτο.

Κεφ. 3, 5 *πολλὰ γὰρ ὥσπερ ἐκ μέθης τινὲς εἰς τὰ μηκέτι τοῦ πράγματος ἴδια ἑαυτῶν καὶ σχολικὰ παραφέρονται πάθη.*

κατασκευὴ οἵα ἡ *τινὲς παραφέρονται πολλὰ εἰς τὰ ἴδια*

---

[1] οὐ μόνον τὸ δυνατὸς λέγειν σύνηθες, ὡς Θουκ. I 139, 4 ἀνὴρ κατ' εκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράττειν δυνατώτατος, ἀλλὰ καὶ τοὐναντίον εὐχρηστεῖ, ὡς Θουκ. III 42, 4 ἀδυνάτους λέγειν. IV 84, 2 ἦν δὲ οὐδὲ ἀδύνατος ὡς Λακεδαιμόνιος εἰπεῖν. VIII 68, 4 ἀνὴρ οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατος. πρβ. VII 8, 2 κατὰ τοῦ λέγειν ἀδυνασίαν.

[2] ὁ μὲν Ruhnken γράφει *οὐ μιμεῖται* ὁ δὲ Nauck διορθοῖ *μέμφεται.*

ἑαυτῶν καὶ σχολικὰ πάθη ἥκιστα ἑλληνικὴ μᾶλλον δ' εἰπεῖν ἀκατανόητος δοκεῖ ἡμῖν εἶναι· τοῦτο καὶ τῷ Faber παρέσχεν ἀφορμὴν τῆς γραφῆς *πολλάκις γάρ τινες ὥσπερ ἐν μέθαις*. πιθανώτερον καὶ ὀρθότερον ἡγούμεθα τὸ *πολλοὶ* [συγχεομένου τοῦ *οι* καὶ *α*] *γὰρ ὥσπερ ἐκ μέθης τινός εἰ τὰ μηκέτι τοῦ πράγματος ἴδια ἑαυτῶν καὶ σχολικὰ παραφέρονται πάθη*, ὁ δὲ νοῦς σαφής.

Ἐν κεφ. 4, 4 καταμεμφόμενος ὁ ἡμέτερος συγγραφεὺς Ξενοφῶντα τοῦ τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας παρθένους αἰδήμονας καλέσαι φησίν·

οἷον δὲ Ἡράκλεις τὸ τὰς ἁπάντων ἑξῆς κόρας αἰσχυντηλὰς εἶναι πεπεῖσθαι, ὅπου φασὶν οὐδενὶ οὕτως ἐνσημαίνεσθαι τήν τινων ἀναίδειαν ὡς ἐν τοῖς ὀφθαλμοῖς· ἰταμόν, „οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων" φησίν. ὁ μέντοι Τίμαιος ὡς φωρίου τινὸς ἐφαπτόμενος οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους καὶ τὸ τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ἀνακαλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν· „ὃ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς κόρας, μὴ πόρνας ἔχων;"

ἡ φράσις *οὐδενὶ οὕτως ἐνσημαίνεσθαι τήν τινων ἀναίδειαν ὡς ἐν τοῖς ὀφθαλμοῖς*" πολλοῖς παρέσχε πράγματα, διὸ καὶ ἄλλοι ἄλλως τὸ χωρίον ἐπεχείρησαν ἑρμηνεῦσαι· οἱ μὲν γὰρ τὸ *τινων* εἰς *κυνῶν* τρέπουσιν, οἱ δὲ τὴν διαφθορὰν διὰ τοῦ *τήν † τινων ἀναίδειαν* σημειοῦνται. ἡμῖν μέντοι ἀλλαχοῦ ἔοικεν ἡ δυσχέρεια κεῖσθαι, τουτέστιν ἐν τῷ *οὐδενί*· ἢ γὰρ ἑρμηνευτέον τοῦτο ἐπιρρηματικῶς, δηλαδὴ οὐδαμοῦ, ἤ, ὃ καὶ πιθανώτερον φαίνεται, γραπτέον *ἐν οὐδενί*, *nulla in re*, κατὰ τὸ Διονυσ. Ἁλικαρν. περὶ Θουκ. χαρακτ. 36, 9 Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους. οὐ μὴν ἀλλὰ καὶ ἄλλην τινά, τὴν καὶ πιθανωτάτην διόρθωσιν συγχωρεῖ τοῦτο, δηλαδὴ ΟΥΔΕΝΙ ΟΥΤΩϹ

ΟΥΔΑΜΟΥΟΥΤΩϹ

ὅπερ σαφέστατον τὸ χωρίον καθίστησι· *mirum hercule est omnium omnino pupillas verecundas credere, cum quorumdam impudentiam nulla alia corporis parte magis significari dicant quam oculis.* παραπλησίας κατασκευῆς παραδείγματα εὕροις ἂν οὐκ ὀλίγα, οἷον Πλάτ. πολιτ. III 402, B εἰκόνας γραμμάτων εἴ που ἢ ἐν ὕδασιν ἢ ἐν κατόπτροις ἐμφαίνοιντο. Πλάτ. Πρωτ. 324, E ἐν τούτῳ λύεται ἡ ἀπορία ἢ ἄλλοθι οὐδαμοῦ.

ὁ μέντοι Τίμαιος ὡς φωρίου τινὸς ἐφαπτόμενος οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν, Timaeus vero tamquam si furtum (furtivam rem) attingeret, ne hoc quidem frigidum Xenophonti reliquit. τίς τῷ Τιμαίῳ καὶ τῷ κλέμματι κοινωνία; ἆρα μὴ κλεπτικὸς ὁ Τίμαιος ἐνομίζετο; ἀλλ' ἀκουέσθω ἡμῖν τὰ τὸ χωρίον διασαφήσοντα· Γεωπ. XIX 2, 15 κύων δέ σοι ἀκολουθήσει, ἐὰν κυνὸς ἑτέρου χόριον[1] εἰς πανίον ἐνδήσας προσοσφράνῃς αὐτόν. γνωστά ἐστι καὶ τὰ παροιμιώδη (Θεόκρ. 10, 11) χαλεπὸν χορίω κύνα γεῦσαι, οἷς καὶ ὁ Ὁράτιος ἐχρήσατο ἐν τῷ γνωστῷ στίχῳ Serm. II 5, 83 *ut canis a corio numquam absterrebitur uncto.* ταύτῃ δ' ἂν εἴη καὶ ὁ νοῦς τοῦ χωρίου ἐνταῦθα· *Timaeus vero tamquam corium* (ἢ *tamquam canis corium,* ὡς χορίου κυνός) *attingens ne hoc quidem frigidum Xenophonti reliquit.*

Τὸ λοιπὸν τῆς περιόδου *φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους καὶ τὸ τὴν ἀνεψιὰν κτλ.* χωλαίνει ὡσαύτως. ἀλλ' ἐνταῦθα οὐ μόνον τὴν ἔννοιαν ἀλλὰ καὶ τὴν λέξιν ἀποδοτέον τῷ Τιμαίῳ. οὕτω γὰρ καὶ ἡ κατασκευὴ ὁμαλίζεται καὶ ὁ νοῦς ἀποχρώντως διασαφεῖται. ἀναγνωστέον δηλαδή· *φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους καὶ τό* (εἰ μὴ *καὐτό*)· *„τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην“ κτλ.* ἢ πιθανώτερον· *φησὶ*

---

[1] τὸ *χόριον* γέγραπται ἐνιαχοῦ πλημμελῶς καὶ *χωρίον* ἢ *χορίον,* ὡς Διοσκ. 3, 167. Θεόκρ. 9, 19.

γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους· „καὐτὸν τὴν ἀνεψιὰν ἑτέρῳ“ κτλ. ταύτῃ δ' ἂν ἔχοι τὸ ὅλον χωρίον ὧδε·

οἷον δὲ[1] *Ἡράκλεις τὸ τὰς ἁπάντων ἑξῆς κόρας αἰσχυντηλὰς εἶναι πεπεῖσθαι, ὅπου φασὶν οὐδαμοῦ (ἐν οὐδενὶ;) οὕτως ἐνσημαίνεσθαι τήν τινων ἀναίδειαν ὡς ἐν τοῖς ὀφθαλμοῖς· ἰταμόν, „οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων“ φησίν. ὁ μέντοι Τίμαιος ὡς χορίου τινὸς [ὡς χορίου κυνός;] ἐφαπτόμενος οὐδὲ τοῦτο Ξενοφῶντι τὸ ψυχρὸν κατέλιπεν. φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους· „καὐτὸν τὴν ἀνεψιὰν ἑτέρῳ δεδομένην ἐκ τῶν ἀνακαλυπτηρίων ἁρπάσαντα ἀπελθεῖν· ὃ τίς ἂν ἐποίησεν ἐν ὀφθαλμοῖς κόρας, μὴ πόρνας ἔχων;“*

Κεφ. 4, 7 *οἱ γὰρ παρ' αὐτῷ* ⟨τῷ Ἡροδότῳ⟩ *ταυτὶ* ⟨ὅ ἐ. τὰ ἄτοπα⟩ *λέγοντές εἰσιν οἱ βάρβαροι καὶ ἐν μέθῃ, ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μικροψυχίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.*

αἱρετώτερον ἴσως ἂν εἴη τοῦ ἘΚ *Τοιούτων* τὸ ἘΠΙ *Τοιούτων*, τὸ καὶ συνηθέστατον. οἷον 38, 3 ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. 2, 3 ὅπερ γὰρ ὁ Δημοσθένης ἐπὶ τοῦ κοινοῦ τῶν ἀνθρώπων ἀποφαίνεται βίου . . . τοῦτ' ἂν καὶ ἐπὶ τῶν λόγων εἴποιμεν. 7, 1 τῇδέ που καὶ ἐπὶ τῶν διῃρμένων ἐν ποιήμασι καὶ λόγοις ἐπισκεπτέον. 15, 1 ἤδη δ' ἐπὶ τούτων κεκράτηκε τοὔνομα, καὶ πλεῖστα ἄλλα.

Ἀμφίβολον ἡμῖν φαίνεται εἰ ὁ συγγραφεὺς ἐν κεφ. 5, 1 ἔγραψε καθ' ἕλξιν·

καὶ αὐτὰ ταῦτα ⟨τὰ κάλλη τῆς ἑρμηνείας καὶ τὰ ὕψη⟩ *καθάπερ τῆς ἐπιτυχίας οὕτως ἀρχαὶ καὶ ὑποθέσεις καὶ τῶν ἐναντίων καθίστανται.* παραβλητέα δ' ὅμοιά

---

[1] ἢ ἐρωτηματικῶς *οἷόν τε Ἡράκλεις . . . ὡς ἐν τοῖς ὀφθαλμοῖς; fierine potest hercule ut omnium omnino pupillae verecundae credantur, cum . . .?*

τινα· 1, 4 ταῦτα δὲ δυναστείαν καὶ βίαν ἄμαχον προσφέροντα παντὸς ἐπάνω τοῦ ἀκροωμένου καθίσταται. 9, 7 ἀλλὰ ταῦτα … εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο. 2, 1 χείρω τε τὰ φυσικὰ ἔργα … καθίσταται. 43, 3 τὰ τοιαῦτα ὀνόματα αἴσχη καὶ οἱονεὶ στίγματα καθίσταται, κτλ.

Κεφ. 7, 2 *φύσει γάρ πως ὑπὸ τἀληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ ψυχὴ καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς κτλ.*

ἡ διόρθωσις *τι ἀνάστημα* ἀντὶ τοῦ ἐν τῷ χειρογράφῳ φερομένου *τι ἀνάθημα* ἥκιστα προσφυής ἐστιν, εὔλογος δὲ μόνη ἡ τοῦ Μανουτίου *παράστημα*, ὃ καὶ μόνον παρὰ τῷ ἡμετέρῳ τεχνογράφῳ εὐχρηστεῖ, ὡς 9, 1 χρὴ … καθ' ὅσον οἷόν τε τὰς ψυχὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν γενναίου παραστήματος.

Κεφ. 7, 4 *ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων βίων ζήλων ἡλικιῶν λόγων ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν ἅπασι δοκῇ, τόθ' ἡ ἐξ ἀσυμφώνων ὡς κρίσις καὶ συγκατάθεσις τὴν ἐπὶ τῷ θαυμαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.*

τοῦ ἐν τῇ ἀποδόσει *ἐξ ἀσυμφώνων* ἀνήκοντος κατὰ τὸ εἰκὸς εἰς τὸ ἧττον ἔντονον καὶ βαρὺ *ἀπὸ διαφόρων ἐπιτηδευμάτων βίων ζήλων κτλ.*, ἀνανταπόδοτον μένει τὸ κεφαλαιῶδες καὶ κύριον τοῦ χωρίου μέρος, ὃ μάλιστα ἐξῆρεν ὁ συγγραφεὺς διὰ τῶν ἐμφατικῶν *ἕν τι καὶ ταὐτὸν ἅμα περὶ τῶν αὐτῶν ἅπασι.* εἰς ἄρσιν τῆς δυσχερείας παρῄνεσεν ἄρτι ὁ Rohde [1] τὸ *ὡς* εἰς *οὕτως* τρέψαι, ἀλλὰ καὶ οὕτω τὸ χωρίον ἥκιστα διασαφηνίζεται. ἡμεῖς γοῦν τὸ *ὡς*, ὅ ἐ. τὸν φθόγγον *os*, οὐδὲν ἀλλ' ἢ τὴν κατάληξιν λέξεως ὁμοφώνου τῇ προηγουμένῃ — *ἀσυμφώνων σύμφωνΟΣ* — εἶναι ἡγούμενοι, ἀναγινώσκομεν· *τόθ' ἡ ἐξ ἀσυμφώνων σύμφωνος κρίσις κτλ.*

[1] Rheinisches Museum XXXV, 2. 1880.

Κεφ. 8, 4 *θαρρῶν γὰρ ἀφορισαίμην ἂν ὡς οὐδὲν οὕτως ὡς τὸ γενναῖον πάθος, ἔνθα χρή, μεγαληγόρον ἐστίν, ὥσπερ ὑπὸ μανίας τινὸς καὶ πνεύματος ἐνθουσιαστικοῦ ἐκπνέον καὶ οἱονεὶ φοιβάζον τοὺς λόγους.*

πλημμελῶς ἔχει τὸ *ὑπὸ μανίας . . . ἐκπνέον*, ὡς καὶ τὸ ὑπὸ τοῦ Μώρου σημειούμενον *ἐμπνέον* ἢ *ἐπιπνέον*. τὸ γὰρ ῥῆμα ἐκπνεῖν, ἐπιπνεῖν, ἐμπνεῖν οὐδαμῶς παθητικῶς ἐκλαμβάνεται. ὀρθότερον καὶ πιθανώτερον φαίνεται τὸ *ἔμπνοον* ἢ *ἐπίπνοον* (*-ουν*), ἐπὶ παθητικῆς ἐννοίας πολλάκις εὑρισκόμενον· Εὐστάθ. Ἰλ. 1178, 9 ἐκ δὲ τούτου τοῦ ἐμπνέειν καὶ ἔμπνους ὁ ἔνθους καὶ κάτοχος λέγεται. πρβ. καὶ τὰ παρὰ τῷ ἡμετέρῳ 16, 2 ἐμπνευσθεὶς ὑπὸ θεοῦ. 13, 2 ὑφ' ὧν ἐπιπνεόμενοι.

Ἐν κεφ. 9, 5 παρενεγκὼν τὸ εἰς τὸν Ἡσίοδον ἀναφερόμενον (Ἀσπὶς 267) ἐπὶ τῆς Ἀχλύος·

τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον

ἐπάγει·

οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον ἀλλὰ μισητόν. μῶν μὴ καὶ σοὶ *μῖσος* ἢ *μύσος* μᾶλλον αἱ μύξαι ἐμποιοῦσιν; ἀλλὰ νὴ Δία τὸ τοιοῦτον εἴδωλον *μυσαρότερον* ἢ *μισητότερόν ἐστιν*.

Ἐν δὲ κεφ. 9, 6 παραθέμενος ἐκ τῆς θεομαχίας τὰ ὁμηρικὰ ἐκεῖνα (Ἰλ. Υ 60—65) φησίν·

ἐπιβλέπεις, ἑταῖρε, ὡς ἀναρρηγνυμένης μὲν ἐκ βάθρων γῆς αὐτοῦ τε γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ δι' ὅλου καὶ διάστασιν τοῦ κόσμου λαμβάνοντος, πάνθ' ἅμα οὐρανὸς ᾅδης τὰ θνητὰ τὰ ἀθάνατα ἅμα τῇ τότε συμπολεμεῖ καὶ συγκινδυνεύει μάχῃ; ἀλλὰ ταῦτα φοβερὰ μὲν πλὴν ἄλλως, εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, παντάπασιν ἄθεα καὶ οὐ σώζοντα τὸ πρέπον.

τὸ δεύτερον ἅμα ἐν τῇ φράσει *τὰ ἀθάνατα ἅμα τῇ τότε κτλ.* ὡς περιττὸν ὀβελίζεται ὑπό τινων· ἀλλ' οὕτως

ἄπορόν ἐστιν ἰδεῖν ὅπως πάνθ' ἅμα, οὐρανὸς ᾅδης, τὰ θνητὰ τὰ ἀθάνατα μάχῃ τινὶ συμπολεμεῖν καὶ συγκινδυνεύειν δύναται, ἅτε αὐτῆς τῆς μάχης οὐδαμῶς ποτε πολεμούσης καὶ κινδυνευούσης. ἀλλ' ἆρα ἐν τῇ περὶ τοῦ Ὁμήρου ταύτῃ κρίσει οὐκ εἰκὸς κεχρῆσθαι τὸν συγγραφέα καὶ ὁμηρικῇ λέξει; Ὁμ. Ἰλ. Ε 167 ἄν τε μάχην καὶ ἀνὰ κλόνον. Ἰλ. Ο 584 ἀνὰ δηιοτῆτα. Ἰλ. Ν 270 μάχην ἀνὰ κυδιάνειραν ἵσταμαι. Ἰλ. Ψ 617 ἂν ἀγῶνα. Ἰλ. Θ 89 καὶ 158 ἂν ἰωχμόν. πρβ. καὶ τὸ ἡροδότειον VIII 123 ἀνὰ τὸν πόλεμον τοῦτον.

Ἀντὶ τοῦ *πλὴν ἄλλως*, ὃ ὁ Μανούτιος *πλὴν ἀλλ' εἰ* διορθοῖ, γραπτέον ἡγούμεθα *πλὴν ὅμως*, ᾧ καὶ κατωτέρω ὁ συγγραφεὺς ἐχρήσατο· 38, 4 ἐνταῦθα οἷόν ἐστι τὸ καὶ στόμασι μάχεσθαι πρὸς ὡπλισμένους, καὶ ὁποῖόν τι τὸ καταχεχῶσθαι βέλεσιν ἐρεῖς, πλὴν ὅμως ἔχει πίστιν.

Ἐν κεφ. 9, 7 καὶ 8 μεμφόμενος ὁ τεχνογράφος Ὁμήρου τὸ τοὺς θεοὺς ὅσον ἐπὶ τῇ δυνάμει ἀνθρώπους πεποιηκέναι τοὺς ἀνθρώπους δὲ θεούς, καὶ παραθέμενος ἐκ τῆς Ἰλιάδος τὰ περὶ τὴν θεομαχίαν καὶ τὰ ἐπὶ τοῦ Ποσειδῶνος ἐν ἀρχῇ τοῦ στοιχείου Ν ἐπιλέγει (9, 10)·

οὐκ ὀχληρὸς ἂν ἴσως, ἑταῖρε, δόξαιμι ἓν ἔτι τοῦ ποιητοῦ καὶ τῶν ἀνθρωπίνων παραθέμενος τοῦ μαθεῖν χάριν ὡς εἰς τὰ ἡρωικὰ μεγέθη συνεμβαίνειν ἐθίζει.

ἐν τῇ φράσει *καὶ τῶν ἀνθρωπίνων* ἐξέπεσεν οὐχὶ ἡ πρόθεσις *ἐκ*, ὥς τινες ὑπέλαβον, ἀλλ' ἡ *ἐπί*, ᾗ καὶ ὁ συγγραφεὺς κατὰ κόρον χρῆται· φειδὼ δ' ἔστω ἡμῖν τῶν παραδειγμάτων διὰ τὸ πλῆθος (πρβ. ἀνωτέρω σελ. 18).

Παραθέμενος δὲ τὸ ἐμπαθέστατον παράδειγμα (Ἰλ. Ρ 645—647) ἐπὶ τοῦ Αἴαντός φησιν·

ἔστιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος· οὐ γὰρ ζῆν εὔχεται — ἦν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον κτλ.

ἀλλὰ τί ἔστι τὸ πάθος Αἴαντος; ὅτι ἡ λέξις *μέγα* (*ἡρωικόν; γενναῖον;* πρβ. 8, 4 γενναῖον τὸ πάθος) ἐξέπεσε, δῆλον καὶ ἐκ τοῦ ἑπομένου ἦν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον.

Κεφ. 9, 13 *ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος γραφομένης ἐν ἀκμῇ πνεύματος ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον· τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικόν, ὅπερ ἴδιον γήρως.*

δύο τινά ἐστι τὰ ὑποψίαν εἰς τὴν γνησιότητα τῆς φράσεως *ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον* ἐγείροντα· τὸ μὲν ὅτι ἡ ὅλη Ἰλιὰς οὐδαμῶς ἐστι κατὰ πάντα (*ὅλον*) δραματικὸν καὶ ἐναγώνιον ἔργον — περὶ Ὀδυσσείας εἶπε „τὸ πλέον διηγηματικόν" — τὸ δὲ πῶς ἂν καλέσειεν ὁ συγγραφεὺς τὴν ὅλην Ἰλιάδα *σωμάτιον* τὰ μέρη αὐτῆς κατωτέρω *ποιήματα* οὐχὶ *ποιημάτια* εἰπών; ἐὰν ὑπολάβωμεν τῇ καταλήξει τοῦ *σωμάτιον* τὸ λεξίδιον *οἷον* ἐνεῖναι, ᾧ κατὰ κόρον ὁ συγγραφεὺς χρῆται, τὸ χωρίον σαφέστερον καθίσταται· *ὅλον τὸ σῶμα οἷον δραματικὸν ὑπεστήσατο καὶ ἐναγώνιον, τῆς δὲ Ὀδυσσείας τὸ πλέον διηγηματικὸν κτλ.*

Κεφ. 10, 1. αἱ φράσεις ποῦ δὲ τὴν ἀρετὴν ⟨ἡ Σαπφὼ⟩ ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι, καὶ 10, 3 ἡ λῆψις δ᾽ ὡς ἔφην τῶν ἄκρων καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν ἐξοχὴν ἐξελέγχουσι παρεφθαρμένον τὸ χωρίον 10, 1·

ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται·

διὸ καὶ ἀντὶ τοῦ *τὸν ἀκροατὴν* ὁ μὲν Faber *τῶν ἄκρων λημμάτων* παραινεῖ γράφειν, ὁ δὲ Tollius *τῶν λημμάτων τῶν ἄκρων*, ὁ δὲ Weiske τὸ ὕποπτον *τὸν ἀκροατὴν* διαγράφει. ἡμῖν δὲ τούτων πασῶν πιθανωτέρα φαίνεται ἡ ὁμοιόφωνος διόρθωσις *τῶν ἀκροτήτων*, ὃ καὶ ἐπάνω

που — 1, 3 ἀκρότης καὶ ἐξοχή τις λόγων ἐστὶ τὰ ὕψη — ἐπὶ τῆς αὐτῆς ἐννοίας εἴρηται· τοῦτ' ἔστιν ὃ *μὲν γὰρ τῇ ἐκλογῇ τῶν ἀκροτήτων τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται, nam haec partim delectu eminentium sententiarum, partim delectorum copulatione alliciunt*[1].

Ἐν κεφ. 10, 3 παραθέμενος τὸ γνωστὸν ᾆσμα τῆς Σαπφοῦς, ὃ πυρετῶδες τελευτᾷ, ἀναβοᾷ·

πᾶν τολματὸν[2] *ἐπεὶ καὶ πένητα. οὐ θαυμάζεις ὡς ὑπ' αὐτὸ τὴν ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν πάντως ἀλλότρια διοιχόμενα ἐπιζητεῖ καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κάεται, ἀλογιστεῖ φρονεῖ; ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν· ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος.*

ἐνταῦθα πολλά τε καὶ αὐθαίρετα εἰκοτολογήθη, ἀλλ' οὐδὲν τούτων διευκρινεῖ πως τὸν τόπον. ἄπορον τῷ ὄντι ἐστὶν εἰπεῖν ὅ τι τὸ *ἐπεὶ καὶ πένητα* βούλεται, ἂν μὴ ὑποληφθῇ τὸ μὲν ΕΠΕΙ λείψανον εἶναι τοῦ ῥήματος *πυρ*ΕΤΤΕΙ, τὸ δὲ *πένητα* διαφθορὰ τοῦ *μαίνεται*· τὸ μὲν τοῦ ᾄσματος ἀληθῶς πυρετῶδες οὐ πάντως ἀπίθανον καθίστησι τὸ *πυρέττει*[3], τὸ δὲ τοῦ παραδειγματιζομένου Πλάτωνος Πρωτ. 343, C τὸ πρῶτον τοῦ ᾄσματος μανικὸν ἂν φανείη ἀναμιμνήσκει ἡμᾶς τὸ ῥῆμα *μαίνεται*, ὅπερ καὶ ἄλλα παραπλήσια παραδείγματα οὐκ ἀναπολόγητον κα-

---

[1] πρβ. ἣν ἐξήνεγκεν ὁ συγγραφεὺς παραπλησίαν ἔννοιαν ἀνωτέρω 1, 3· ἀκρότης καὶ ἐξοχή τις λόγων ἐστὶ τὰ ὕψη, καὶ ποιητῶν τε οἱ μέγιστοι καὶ συγγραφέων οὐκ ἄλλοθεν ἢ ἐνθένδε ποθὲν ἐπρώτευσαν καὶ ταῖς ἑαυτῶν ὑπερέβαλον εὐκλείαις τὸν αἰῶνα.

[2] ἀντὶ *τολματὸν* γράφεται εὐλόγως ὑπὸ τοῦ Ahrens καὶ Bergk *τὸ ᾀσμάτιον.*

[3] πρβ. τοὺς τύπους πλάττειν, ἀναπτύττειν 7, 1 κτλ.

θίστησι· Πλάτ. νόμ. XI 926, B μαινόμενα κηδεύματα ἀναγκάζοντος λαμβάνειν. Θουκ. IV 39, 3 μανιώδης οὖσα ἡ ὑπόσχεσις ⟨τοῦ Κλέωνος⟩. πρβ. καὶ τὰ παρὰ τῷ ἡμετέρῳ 15, 8 φαντάζεται ταῦθ' ὅτι μαίνεται. 8, 4 ⟨τὸ πάθος⟩ ὑπὸ μανίας τινὸς καὶ πνεύματος ἐνθουσιαστικοῦ ἐκπνέον (ἔμπνουν; ὅρα ἀνωτέρω σελ. 20), καὶ ἄλλα.

Ἐλλειπούσης τοίνυν ἄλλης εἰκασίας εὐλογωτέρας ἡμεῖς γε ἀναγινώσκομεν τὸ ὅλον χωρίον, ἐπαναλαβόντες τὸ προηγηθὲν *ἄλλα*, ὧδέ πως·

ἀλλ' ἅπαν τὸ ᾆσμα οἷον πυρέττει καὶ μαίνεται. οὐ θαυμάζεις ὡς ὑπ' αὐτῷ τὴν ψυχὴν τὸ σῶμα τὰς ἀκοὰς τὴν γλῶσσαν τὰς ὄψεις τὴν χρόαν πάντως ἀλλοτριοῖ;[1] *διοιχόμενα ἔτι ζῇ [ἐπιζῇ;] τε καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται κάεται, ἀλογιστεῖ φρονεῖ. ἢ γὰρ φοβεῖται ἢ παρ' ὀλίγον τέθνηκεν, ἵνα μὴ ἕν τι κτλ.*

ἡμεῖς μὲν οὖν ἐν τοσούτῳ ταύτην τὴν ἀνάγνωσιν προαιρούμεθα, χαιρέτω δ' ἕκαστος οἷς ἥδεται.

Κεφ. 10, 6 *ἔτι δὲ παρώρισε τὸν κίνδυνον εἰπὼν* ⟨ὁ Ἄρατος⟩ „*ξύλον ἄϊδ' ἐρύκει*“, *οὐκοῦν ἀπείργει. ὁ δὲ ποιητὴς οὐκ εἰς ἅπαξ παρορίζει τὸ δεινόν, ἀλλὰ τοὺς ἀεὶ … ἀπολλυμένους εἰκονογραφεῖ.*

τὸ *παρορίζειν* ἀντὶ τοῦ *περιορίζειν* παρὰ μόνῳ τῷ ἡμετέρῳ τεχνογράφῳ ἔοικεν ἀπαντᾶν, καὶ ταῦτα ἐν τρισὶ χωρίοις. ἀλλὰ τούτων τὸ μὲν πρῶτον 2, 2 ἔτι δὲ τὴν ἀπλανεστάτην ἄσκησίν τε καὶ χρῆσιν ἱκανὴ παρορίσαι καὶ συνενεγκεῖν ἡ μέθοδος αὐτὸς ὁ βιβλιογράφος *πορίσαι* μεταγράφων ἐπηνώρθωκε, τὸ δὲ τρίτον, ὃ ῥηματικὸν μόνον ἐπίθετόν ἐστιν, — 38, 1 διόπερ εἰδέναι χρὴ τὸ μέχρι ποῦ παροριστέον — δικαίως ὑπὸ τοῦ Seager[2] ἐξελέγχεται νοθευόμενον. ἆρ' οὐκ

---

[1] δηλαδὴ ἡ ποιήτρια Σαπφώ.
[2] class. Journal XIII, 46 *p.* 322.

ἂν εἴη ἄμεινον κἀν τῷ ἡμετέρῳ χωρίῳ ἀντὶ τοῦ *παρορίζειν* ἀναγινώσκειν *περιορίζειν;* Πλούτ. ἠθικ. 719 E ἐξ ὕλης ἀτάκτου καὶ πλανητῆς ἄνευ τοῦ περιορίζοντος. Πλούτ. Καῖσ. 58 τὸν κύκλον τῆς ἡγεμονίας τῷ πανταχόθεν ὠκεανῷ περιορισθείσης. πρβ. καὶ τὰ τοῦ ἡμετέρου 28, 3 μεγάλην τινὰ ἔννοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο. 16, 1 ἀπεριόριστον. 44, 6 ἀπεριόριστος.

Κεφ. 11, 2 *τοῦτο δὲ εἴτε διὰ τοπηγορίαν εἴτε δείνωσιν ἢ πραγμάτων ἢ κατασκευῶν ἐπίρρωσιν εἴτ' ἐποικονομίαν ἔργων ἢ παθῶν . . . γίνοιτο.*

ἀντὶ ἘΠ*οικονομίαν* ἀναγινώσκομεν ἜΤΙ *οἰκονομίαν.* ἡ γὰρ σύνθεσις *εἴτε* — *εἴτε* — *εἴτε ἔτι* ὁμαλὴ ἡμῖν φαίνεται, *vel — vel — vel etiam.*

Ἐν κεφ. 13, 3 εἰπὼν ἡμῖν ὁ τεχνογράφος ὅτι ὁ Πλάτων „ἀπὸ τοῦ ὁμηρικοῦ κείνου νάματος εἰς ἑαυτὸν μυρίας ὅσας παρατροπὰς ἀπωχετεύσατο“ προστίθησι (13, 4)·

καὶ οὐδ' ἂν ἐπακμάσαι μοι δοκεῖ τηλικαῦτά τινα τοῖς τῆς φιλοσοφίας δόγμασι καὶ εἰς ποιητικὰς ὕλας πολλαχοῦ συνεμβῆναι καὶ φράσεις, εἰ μὴ περὶ πρωτείων νὴ Δία παντὶ θυμῷ πρὸς Ὅμηρον ὡς ἀνταγωνιστὴς νέος . . . διηριστεύετο ⟨ὁ Πλάτων⟩.

τὸ *ἐπακμάζειν,* ἀμεταβάτως μόνον ἀπαντῶν, ὡς παρὰ Διονυσ. Ἁλικαρν. ἐπιστ. πρὸς Γν. Πομπ. 1, 16 οἱ λίαν ὕστερον ἐπακμάσαντες, καὶ 4, 1 Ξενοφῶν δὲ καὶ Φίλιστος οἱ τούτοις ἐπακμάσαντες, ἀτοπώτατον ἐνταῦθα ἡμῖν φαίνεται. τί δέ; λογιζόμενοι ὅτι οὐ μόνον ἄλλοι συγγραφεῖς [1] τῷ Πλά-

---

[1] Διονύσ. Ἁλικαρ. ἐπιστ. πρὸς Γν. Πομπ. 2, 6 ⟨ἡ Πλατωνικὴ διάλεκτος⟩ μάλιστα χειμάζεται περὶ τὴν τροπικὴν φράσιν. πολλὴ μὲν γὰρ ἐν τοῖς ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις σκληρὰ δὲ καὶ οὐ σώζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς γίγνεται· ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολλὰς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν. σχήμασί τε ποιητικοῖς ἐσχάτην

τωνι — περὶ Πλάτωνος γὰρ καὶ ἐνταῦθα ὁ λόγος — ἐπὶ κόμπῳ καὶ σχήμασι καὶ μεταφοραῖς καὶ ἄλλοις κακοῖς πολλοὶ ἔγκεινται λέγοντες, ἀλλὰ καὶ αὐτὸς ὁ ἡμέτερος ἀλλαχοῦ [1] αὐτοῦ τοιαῦτα ἐλαττώματα ὑπομέμφεται — τοιοῦτον δ' αἰνιγμὸν ἡγούμεθα καὶ ἐνταῦθα τὰ τηλικαῦτά τινα ... εἰς ποιητικὰς ὕλας πολλαχοῦ συνεμβῆναι καὶ φράσεις — νομίζομεν ὅτι τὸ *ἐπακμάσαι* διαφθορά ἐστι ῥήματος κόμπον τινὰ δηλοῦντος, οἷον Εὐριπ. Ἡρακλ. μαιν. 981 ὁ δ'

προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα τοῖς γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται. καὶ πολυτέλειά τίς ἐστιν ἐν τοῖς τοιούτοις παρ' αὐτῷ, ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που καὶ ἄλλοι συχνοὶ πρότερον· οὐ γὰρ ἐμὸς ὁ μῦθος. Πρόκλος εἰς Πλάτ. Τίμ. σελ. 19, B Λογγῖνος μὲν ἐν τούτοις ὡραΐζεσθαι τὸν Πλάτωνά φησι, διὰ τῶν παραβολῶν καὶ τῆς τῶν ὀνομάτων χάριτος καλλωπίσαντα τὸν λόγον, ἐνδεικνύμενος εἴς τινας πλατωνικοὺς αὐτοφυῆ τὴν ἑρμηνείαν ταύτην, ἀλλ' οὐκ ἐκ τέχνης πεπορισμένην τῷ φιλοσόφῳ λέγοντας· εἶναι μὲν γὰρ τὴν ἐκλογὴν τῶν ὀνομάτων πεφροντισμένην τῷ Πλάτωνι καὶ οὐ κατὰ τὸ ἐπιτυχὸν ἕκαστα λαμβάνειν αὐτόν. ἀλλὰ τοῦτο μὲν εἴποι ἄν τις ἀπὸ τῆς κοινῆς τῆς τότε καὶ συνήθους ἑρμηνείας ἥκειν καὶ εἰς αὐτόν, πολλὴν δὲ αὐτὸν καὶ τῆς συνήθους ⟨ποιεῖσθαι;⟩ προμήθειαν. θᾶττον γὰρ ἂν τὰς ἀτόμους Ἐπικούρου συνεκθούσας ποιῆσαι κόσμον ἢ ὀνόματα ὡς ἔτυχε συγκείμενα καὶ ῥήματα λόγον κατωρθωμένον. Πλάτωνα δὲ ἐν μὲν τῇ χρήσει τῶν ὀνομάτων ᾐτιάσαντό τινες ὡς μεταφοραῖς ⟨κατακόρως Ruhnken⟩ χρώμενον, περὶ δὲ τὴν συνθήκην ἅπαντες θαυμάζουσιν. ἀλλ' ὅμως οὐδὲ ἐκ ταύτης μόνον ἄν τις λάβοι τὴν περὶ τὴν ἑρμηνείαν αὐτοῦ φροντίδα, ἀλλὰ ἐκ τῶν τοιούτων ἐπιτηδεύσεων, οἵαν ἐν τούτοις ἐπιδείκνυται· οὐ γὰρ ἁπλῶς λέγει ὁ Σωκράτης ὃ ποθεῖ γενέσθαι αὐτῷ παρὰ τῶν ἀμφὶ Τίμαιον, ἀλλ' ὡραϊζομένῳ πως ἔοικε καὶ ψυχαγωγοῦντι τὸν ἀκροατήν. προσέοικε δὲ δή τινι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῷα καλὰ θεασάμενος εἴτε ὑπὸ γραφῆς εἰργασμένα καὶ τὰ ἑξῆς.

[1] 32, 7 ἐπὶ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσι πολλάκις ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων εἰς ἀκράτους καὶ ἀπηνεῖς μεταφορὰς καὶ εἰς ἀλληγορικὸν στόμφον ἐκφερόμενον. 13, 1 ὅτι μέντοι ὁ Πλάτων ... τοιούτῳ τινὶ χεύματι ἀψοφητὶ ῥέων οὐδὲν ἧττον μεγεθύνεται ἀνεγνωκὼς τὰ ἐν τῇ πολιτείᾳ τὸν τύπον [*τὸν τῦφον; τὸ λοιπόν;*] οὐκ ἀγνοεῖς. 28, 4 ὅθεν καὶ τὸν Πλάτωνα — δεινὸς γὰρ ἀεὶ περὶ τὸ σχῆμα κἄν τισιν ἀκαίρως — ἐν τοῖς νόμοις λέγοντα ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐᾶν οἰκεῖν, διαχλευάζουσιν ὡς κτλ.

ἠλάλαξε κ ά π ε κ ό μ π α σ ε τάδε. Πλούτ. Κάμ. 22 ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐ π ι κ ο μ π ά σ α ι τοὺς Ὑπερβορέους, *verae narrationi de captivitate iactanter addidisse Hyperboreos.* κατὰ ταῦτα ἀναγνωστέον κἀν τῷ ἡμετέρῳ *καὶ οὐδ' ἂν ἐ π ι κ ο μ π ά σ α ι μοὶ δοκεῖ τηλικαῦτά τινα κτλ.*

Κεφ. 14, 1 καὶ 2 *οὐκοῦν καὶ ἡμᾶς, ἡνίκ' ἂν διαπονῶμεν ὑψηγορίας τι καὶ μεγαλοφροσύνης δεόμενον, καλὸν ἀναπλάττεσθαι ταῖς ψυχαῖς, πῶς ἂν εἰ τύχοι ταὐτὸ τοῦθ' Ὅμηρος εἶπεν, πῶς δ' ἂν Πλάτων ἢ Δημοσθένης ὕψωσαν ἢ ἐν ἱστορίᾳ Θουκυδίδης. . . . ἔτι δὲ μᾶλλον εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ' ἐμοῦ λεγόμενον παρὼν Ὅμηρος ἤκουσεν ἢ Δημοσθένης, ἢ πῶς ἂν ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα τοιοῦτον ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον καὶ ἐν τηλικούτοις ἥρωσι κριταῖς τε καὶ μάρτυσιν ὑπέχειν τῶν γραφομένων εὐθύνας † π ε π α ῖ χ θ α ι.*

τὸ *πεπαῖχθαι*, ὃ ἀληθῶς ἐμποδὼν καὶ σκάνδαλον τοῖς φιλολόγοις ἐστίν, ἄλλοι ἄλλως, τινὲς δὲ νὴ Δία καὶ γελοίως παρήνεσαν μεταγράφειν. οἱ μὲν γὰρ αὐτῶν ἀστερίσκον προσημειοῦνται, οἱ δὲ *τετάχθαι* (Morus), οἱ δὲ *πεπεῖσθαι* (Reiske), οἱ δὲ *προσῆχθαι* (Weiske), ἄλλοι δὲ *καὶ μὴ παῖξαι* (Manutius), ἔστιν οἳ δὲ *καὶ μὴ πταῖσαι* (Langbain) ἀναγινώσκουσιν ἐκλαβόντες, ὡς ἔοικε, πάντες τὸ προηγηθὲν *ἀγώνισμα* ἐπὶ τῆς ἐννοίας „ἀ γ ώ ν, μ ό χ θ ο ς, *certamen*". τοῦτο μέντοι πλημμελές ἐστι· καὶ γὰρ ὁ ἡμέτερος συγγραφεὺς ἐπὶ τῆς σημασίας *certamen* πανταχοῦ τῇ λέξει ἀγὼν χρῆται, μόνον δ' ἐνταῦθα *ἀγώνισμα* εἴρηκεν, ὃ καὶ ἑρμηνευτέον „κ α τ ό ρ θ ω μ α, ἔ π α θ λ ο ν, *praemium, laus*"· οὕτω γὰρ παρὰ Θουκυδίδῃ καὶ ἄλλοις πολλοῖς ἀπαντᾷ. Θουκ. III 82, 7 τὸ ξυνέσεως ἀ γ ώ ν ι σ μ α προσελάμβανε. VIII 12, 2 μὴ Ἄγιδος τὸ ἀ γ ώ ν ι σ μ α τοῦτο γενέσθαι. VIII 17, 2 τὸ ἀ γ ώ ν ι σ μ α προσθεῖναι ὅτι πλείστας τῶν πόλεων ἀποστήσας. Σουίδ.

Ἀριστοφ. βάτρ. 286 ἀγώνισμα· σπουδὴν ἐπιμέλειαν· ἀγώνισμα τίθενται συλλαβεῖν αὐτόν. Ἀριστοφάνης· „ἐγὼ δ' εὐξαίμην ἂν ἐντυχεῖν τινι Λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ"· ἔπαθλον. Ἡσύχ. ἀγωνίσματα ἔπαθλα. ὅτι δὲ τὸ *ἀγώνισμα* ἐπὶ τοιαύτης ἐννοίας καὶ ἐνταῦθα εἴρηται δηλοῦται καὶ ἐκ τοῦ ἀμέσως προηγηθέντος διετέθησαν.

Τούτων οὕτως ἐχόντων ἐν τῷ διεφθαρμένῳ ῥήματι *πεπαῖχθαι* μόνην τὴν ἄντικρυς ἐναντίαν ἔννοιαν ἄν τις προσδοκῴη *καὶ μὴ πεπαῖχθαι*, ὅ ἐ. „καὶ μὴ καταγέλαστον γεγονέναι" ἢ κατὰ τὸ Ἀμβροσιανὸν χειρόγραφον, φέρον τὴν γραφὴν *π...σαιχθαι* — εἴ γε τούτῳ πειστέον — *καὶ μὴ ἐψέχθαι*. ἀλλ' ἐπειδὴ καὶ ὁ παρακείμενος χρόνος ἐνταῦθα, προηγημένων τῶν ἐνεστώτων ὑποτίθεσθαι καὶ ὑπέχειν, ἄτοπος φαίνεται, ὀρθότατον καὶ πιθανώτατον πάντων ἂν εἴη τὸ ἐν τῷ κυρίῳ χειρογράφῳ (*codex parisinus* 2036) λελωβημένον *πεπ...χθαι*, λείψανον δύο συγκεχωνευμένων λέξεων ἡγήσασθαι· τοιῷδε λέγω τρόπῳ

..ΠΕΠ.... ΧΘΑΙ

ΚΑΙΕΠ αινε ΙΣΘΑΙ ὅ ἐ. *καὶ ἐπαινεῖσθαι*

ἢ ΚΑΙΕΠευφημεΙΣΘΑΙ ὅ ἐ. *καὶ ἐπευφημεῖσθαι*.

ὁ δὲ νοῦς τοῦ χωρίου σαφέστατος τότ' ἂν εἴη· *magnum est enim profecto praemium, sibi tale iudicium scriptorum suorum theatrumque fingere, tantosque apud heroas iudices eosdem et testes scribendi rationem reddere et laudari*. τοιοῦτόν τινα νοῦν προσημαίνει καὶ τὸ προηγηθὲν *διετέθησαν*.

Κεφ. 16, 3 *παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ ταὐτόν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι παράδειγμα ὅρκων πίστις ἐγκώμιον προτροπή κτλ.*

τοῦ ἀτόπως ἐπαναλαμβανομένου *ὅρκων*, ὃ ὁ Kayser

διαγράφει, αἱρετωτέραν ἡγούμεθα τὴν γραφὴν *ἀρκοῦν*, δηλαδὴ *παράδειγμα ἀρκοῦν*.

Κεφ. 17, 2 *οὐκοῦν καὶ τῶν λόγων τὰ πάθη καὶ τὰ ὕψη ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα ἀεὶ τῶν σχημάτων προεμφανίζεται καὶ τὴν τέχνην αὐτῶν ἐπισκιάζει καὶ οἷον ἐν καταλήψει τηρεῖ.*

τὸ *καταλήψει* λυμαίνεται τὸν νοῦν τοῦ χωρίου, ἀτόπως δὲ τῷ *ἐπισκιάζει* παράκειται· ὑποδηλοῦται δ' ἡ ἀτοπία ἱκανῶς καὶ ἐκ τοῦ μεταξὺ κειμένου *οἷον*, ὃ ἐν παραβολαῖς εἴωθε συνδεῖν φράσεις ὁμοίας μὲν τὸν νοῦν διαφόρους δὲ τὴν δύναμιν, ὡς 43, 3 αἴσχη καὶ οἱονεὶ στίγματα. 44, 3 ἀκονᾶται καὶ οἷον ἐκτρίβεται. ὅθεν καὶ πιθανώτερόν ἐστι τοῦ *καταλήψει* τὸ ἔν τισι τῶν χειρογράφων φερόμενον *καλύψει* ἢ *κατακαλύψει*. πιθανώτατον μέντοι πάντων καὶ ὀρθότατον ἡγούμεθα ἐνταῦθα τὸ *ἔκλειψις*, ὃ καὶ τῷ φερομένῳ *καταλήψει* ἀνθυποβάλλοντες ἀναγινώσκομεν· *ἐπισκιάζει καὶ οἷον ἐν ἐκλείψει τηρεῖ.*

Κεφ. 18, 1 *τί δὲ ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιίαις παρὰ πολὺ ἐμπρακτότερα καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα;*

κοινῶς ὑπολαμβάνεται τὸ *ἐκεῖνα* (αἱ πεύσεις τε καὶ ἐρωτήσεις) ὑποκείμενον τοῦ *συντείνει*· ἀλλ' οὕτως οὐκ ἔστιν ἰδεῖν ὅ τι αἱ τῶν σχημάτων εἰδοποιίαι δύνανται — μὴ ἆρά τι διάφορον τοῦ πεύσεις καὶ ἐρωτήσεις; — οὐδ' ὅποι ἀνήκουσιν, εἶτα δὲ ἄπορον εἰπεῖν εἰ τὸ *συντείνειν* συνώνυμον τῷ „συντελεῖν, καθιστάναι" ἐκληφθῆναι δύναται. τούτων ἕνεκα ἀναφέρομεν τὸ *τὰ λεγόμενα* ὡς ὑποκείμενον εἰς τὸ *συμβαίνει*, ὃ ἀνθυποβάλλομεν τῷ *συντείνει*. ὅτι δὲ τὸ *συμβαίνειν* ἐπὶ τῆς σημασίας τοῦ „ἀποβαίνειν, γίνεσθαι,

εἶναι" ἀπαντᾷ, δηλοῦται καὶ ἐκ τῶν ἑπομένων τοῦ ὑπὸ τοῦ ἡμετέρου τεχνογράφου θαυμαζομένου καὶ παραδειγματιζομένου Πλάτωνος· Κρατ. 398, Ε ἐν τῇ Ἀττικῇ φωνῇ λεγόμενοι οἱ ἥρωες ῥήτορές τινες καὶ ἐρωτητικοὶ συμβαίνουσιν. Νόμ. ΙΙ 671, Β ὥστε εὐαγώγους ξυμβαίνειν τῷ δυναμένῳ ... παιδεύειν. Ἀλκιβ. Ι 130, C λείπεται μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν.

Ἐν κεφ. 19 καὶ 20 εἰπὼν ἡμῖν ὁ περὶ ὑψηγορίας συγγραφεὺς ὅτι ἡ ἐπὶ ταὐτὸ σύνοδος τῶν ἀσυνδέτων σχημάτων ἀλλήλοις „ἔμφασιν" ἐρανίζειν εἴωθε καὶ παραθέμενος τοιαῦτα παραδείγματα ἐκ τοῦ Ὁμήρου καὶ Δημοσθένους ἐπιλέγει (20, 3)·

οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντη φυλάττει ⟨ὁ ῥήτωρ, ὅ ἐ. Δημοσθένης⟩ *τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτῷ καὶ ἡ τάξις ἄτακτον καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει* [παραλαμβάνει;] *τάξιν.*

Φέρε οὖν πρόσθες τοὺς συνδέσμους ὡς ποιοῦσιν οἱ ἰσοκράτειοι κτλ.

ὁρᾷς ὡς ἐνταῦθα ὁ *μὲν* ἄνευ ἀνταποδόσεως μένει; ἀλλ' οὐ μόνον τὸ ἀναντα πόδοτον τοῦ συνδέσμου τὸ χωρίον ἐξελέγχει διεφθαρμένον, ἀλλὰ καὶ ἡ τούτῳ ἀμέσως ἑπομένη ἥκιστα προσφυὴς λέξις *φύσιν*, ἣν ἀδύνατον ἰδεῖν ὅ τι βούλεται. ἐντεῦθεν ὁ μὲν Morus ὡς *οὖν τὴν φύσιν* ἀναγινώσκει, ὁ δὲ Vaucher εἰς τὸ *τὴν μεγαλοφυίαν* ἀτοπώτατα τρέπει. ὁ ἐνθυμούμενος ὅτι ἐνταῦθα περὶ ἐμφάσεως ὁ λόγος ἐστί, παραβαλὼν τὰ ἀνωτέρω εἰρημένα — 19, 2 τὰ γὰρ ἀλλήλων διακεκομμένα καὶ οὐδὲν ἧττον κατεσπευσμένα φέρει τῆς ἀγωνίας ἔμφασιν ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιωκούσης. τοιαῦθ' ὁ ποιητὴς ⟨Ὅμηρος⟩ ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων — πρὸς τὸ νῦν ἐξεταζόμενον συνώνυμον χωρίον οὐκοῦν *τὴν μὲν φύσιν* τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντη φυλάττει τῇ συνεχεῖ μεταβολῇ ἀνενδοιάστως ἀναγνώ-

σεται *οὐκοῦν τὴν ἔμφασιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντη φυλάττει τῇ συνεχεῖ μεταβολῇ*, ὃ τό τε ἀνανταπόδοτον αἴρει καὶ τὸν νοῦν τοῦ χωρίου ἀποκαθίστησιν.

Κεφ. 21, 2 *ὥσπερ εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολλύει τοῦ δρόμου καὶ τὸ ὡς ἀπ' ὀργάνου τινὸς ἀφίεσθαι.*

τὸ ἄτοπον καὶ ἀνόητον τοῦ *ἀγανακτεῖ* αἰσθανόμενοι πολλοὶ πολλὰ εἰκοτολόγησαν [1]. ἀλλ' ἡμεῖς ἀδυνατοῦντες ταῖς εἰκασίαις αὐτῶν πείθεσθαι ἀναγινώσκομεν ἀντὶ τοῦ *ἀγανακτεῖ* τὸ ὁμοφωνοῦν πως καὶ προσφυέστερον *ἀναχαλᾶται*, ὃ καὶ κατωτέρω ὀρθῶς ἀποκατεστάθη [2]. ὅτι δὲ τοῦτο ἐνταῦθα ἁρμόζει δῆλον καὶ ἐκ τοῦ ἑπομένου *ὡς ἀπ' ὀργάνου τινὸς ἀφίεσθαι*. Ἱπποκρ. 616, 38 ῥηιδίως γὰρ ἀναχαλᾶται. Ἡσύχ. ἀνιεμένη ἀνέλκουσα καὶ ἀναχαλῶσα τὸν πέπλον. Ἀθήν. 1, 24, C ἀναχαλῶντες ταῖς ἐμβάσεσι τὰς τῶν μυῶν συντάσεις. οὕτω δ' ἂν εἴη ὁ νοῦς· *sic affectus coniunctionibus ceterisque eiusmodi additamentis impeditus relaxatur* (ὅ ἐ. *refrigescit*).

Ἐν κεφ. 28, 1 εἰπὼν ἡμῖν ὅτι ἡ περίφρασις οὐχ ἥκιστα ὑψηλοποιὸν καὶ παρενεγκὼν τούτου παράδειγμα ἐκ τῶν τοῦ Πλάτωνος (Μενεξ. 236, D) ἐπάγει (28, 2)·

οὐκοῦν τὸν θάνατον εἶπεν εἱμαρμένην πορείαν, τὸ δὲ τετυχηκέναι τῶν νομιζομένων προπομπήν τινα δημοσίαν

---

[1] ὁ μὲν Iahn ἀστερίσκον προσημειοῦται, ὁ δὲ Weiske εἰς τὸ παρακεκινδυνευμένον *ἀγωνίζεται εἰκῇ* τρέπει, ὁ δὲ Κουμανούδης *ἀτονεῖ* γράφειν παραινεῖ, ὃ καὶ πρὸς τὸν νοῦν τοῦ χωρίου συμφωνότερον.

[2] κεφ. 42, 1 τὰ ἐκτάδην ἀποψύχεται παρ' ἄκαιρον μῆκος ἀναχαλώμενα. πρβ. 38, 1 τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται. 39, 4 συνεκλύεται καὶ διαχαλᾶται τὸ ὕψος τὸ ἀπότομον.

ὑπὸ τῆς πατρίδος· ἆρα δὴ τούτοις μετρίως ὤγκωσε τὴν νόησιν, ἣν ψιλὴν λαβὼν τὴν λέξιν ἐμελοποίησε, καθάπερ ἁρμονίαν τινὰ τὴν ἐκ τῆς περιφράσεως περιχεάμενος εὐμέλειαν;

τὴν ἥκιστα ἁρμοδίαν ἐνταῦθα φράσιν *τὴν λέξιν* ὁ μὲν Vaucher διαγράφει — οὗτος μέντοι καὶ τὰ ἑπόμενα *καθάπερ ἁρμονίαν τινὰ* ὀβελίζει — ὁ δὲ Morus, ᾧ καὶ ὁ Spengel ἕπεται, εἰς δοτικὴν τρέπει *τῇ λέξει*. ἀλλὰ μὴν εἰ τῷ ὄντι ὁ συγγραφεὺς τῇ δοτικῇ ἐχρήσατο, εἰκὸς ἦν αὐτὸν οὐ *τῇ λέξει* ἀλλὰ *τῇ περιφράσει* γεγραφέναι, περὶ τῆς περιφράσεως ἐνταῦθα τοῦ λόγου ὄντος. ὅθεν πιθανωτέρα δοκεῖ ἡμῖν ἡ ἔκπτωσις τοῦ συνδέσμου *ὡς* (*ὥσπερ*), τοῦτ᾽ ἔστιν . . . *τὴν νόησιν ἣν ψιλὴν λαβὼν ὡς τὴν λέξιν ἐμελοποίησε, num igitur his mediocriter sententiam extulit quam nudam acceptam, sicut in verbis fit, modulatus est?*

Κεφ. 30, 1 *ὅτι μὲν τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκλογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας καὶ ὡς πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ᾽ ἄκρον* [κατὰ καιρόν; κατάκορον;] *ἐπιτήδευμα μέγεθος ἅμα κάλλος εὐπίνειαν βάρος ἰσχὺν κράτος ἔτι δὲ τἆλλα, ἂν ὦσί τινα, τοῖς λόγοις ὥσπερ ἀγάλμασι καλλίστοις δι᾽ αὑτῆς ἐπανθεῖν παρασκευάζουσα καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότας διεξιέναι.*

τὸ μεταγενέστατον *εὐπίνειαν*, τῷ ἡμετέρῳ δὲ τεχνογράφῳ ἥκιστα πρέπον, ὕποπτον καὶ βεβιασμένον φαίνεται· ἀμήχανον γὰρ νοῆσαι ἄκρον ἐπιτήδευμα *εὐπινείας*. οὐ μὴν ἀλλὰ καὶ ἡ θέσις τῆς λέξεως — περίκεινται γὰρ αὐτῇ, μετρίᾳ καὶ ταπεινῇ οὔσῃ, λέξεις ὑψηλόν τι καὶ ἔντονον ἐμφαίνουσαι (*κάλλος εὐπίνειαν βάρος ἰσχὺς κράτος*) — ἐξελέγχει παρεφθαρμένον τὸν τόπον. ἐντεῦθεν

ἀνθυποβάλλομεν τῇ λέξει *εὐπίνειαν* τὴν λέξιν *εὐγένειαν*, πιθανωτέραν αὐτὴν πασῶν τῶν γενομένων διορθώσεων [1] ἡγησάμενοι. πρβ. 34, 2 ἄφατοί τε περὶ αὐτὸν ⟨τὸν Ὑπερίδην⟩ εἰσὶν ἀστεϊσμοὶ μυκτὴρ πολιτικώτατος εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα οὐδ' ἀνάγωγα κτλ. 39, 4 εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί ⟨οἱ δακτυλικοὶ ῥυθμοί⟩. 43, 6 ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς λόγους. Πλούταρχ. Δημ. 13 εἴγε περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία πολεμιστήριος. Φώτ. βιβλιοθ. 77 εὐγένειαν ὀνομάτων.

Κεφ. 31, 1 *ταύτῃ καὶ τὸ* ⟨ἀναγκοφαγῆσαι⟩ *τοῦ Θεοπόμπου καὶ τὸν ἐπαινετὸν διὰ τὸ ἀνάλογον ἔμοιγε σημαντικώτατα ἔχειν δοκεῖ, ὅπερ ὁ Καικίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται.*

περὶ τοῦ *καὶ τὸν ἐπαινετὸν* μεγάλη ἀμφισβήτησις ἐγένετο τοῖς φιλολόγοις ἄλλοις ἄλλως διορθοῦσιν, οἷον *ἐκεῖνο τὸ ἐπαινετόν* (Manutius), *καίτοι γ' ἀπηνὲς ὄν* (Morus), *καίτοι γ' ἐμπινὲς ὄν* (Reiske), [*καίτοι ἐπαινετὸν*] (Vaucher), *κεκαινοτομημένον* (Wilamowitz - Moellendorff)[2]. ἡμῖν μέντοι ἁπλουστάτη καὶ εὐλογωτάτη φαίνεται ἡ ἀνάγνωσις *καί—τοι ἧτ—τον ἐπαινετόν*, τοῦτ' ἔστι *ταύτῃ* (κατὰ τὰ εἰρημένα) *καὶ τὸ τοῦ Θεοπόμπου, καίτοι ἧττον ἐπαινετόν*[3], *διὰ τὸ ἀνάλογον ἔμοιγε σημαντικώτατα*

[1] ὁ μὲν Robortellus ἀναγινώσκει *εὐκρίνειαν*, ὁ δὲ Manutius *σαφήνειαν*, ὁ δὲ Portus *ἐπίνοιαν*. ἡ λέξις ΕΥΠΙΝΕΙΑ ἴσως προῆλθεν ἐκ τῆς παρὰ τοῖς ἀγραμμάτοις ἀπαντώσης ἐνίοτε γραφῆς ΕΥΓΙΕΝΕΙΑ, ὡς ἔτι καὶ νῦν οὐχὶ σπανίως εὕρηται γιελῶ, γιέροντας, Γιεόργιος, εὐγιενής κτλ.

[2] Hermes Band X.

[3] ἢ ἧττον πιθανὸν *καίτοι ταπεινότερον ὄν*. δῆλον δ' ὅτι ἀντὶ τοι *καίτοι γ' ἧττον ἐπαινετὸν* καὶ τῆς γραφῆς *καίπερ ἧττον ἐπαινετὸν* (*ὄν*), ἢ τῆς *καὶ ἧττον ἐπαινετὸν ὄν* χρῆσις ἂν γένοιτο. παραπλησίαν δέ τινα ἔννοιαν ἐξήνεγκεν

ἔχειν δοκεῖ, ὅπερ ὁ Καικίλιος οὐκ οἶδ' ὅπως καταμέμφεται, secundum haec etiam illud Theopompi, quamvis minus sit laudabile, tamen propter convenientiam mihi quidem ad rem declarandam aptissime se habere videtur.

παραδείγματα ὁμοίας κατασκευῆς τοῦ *ἧττον* μετὰ ἐπιθέτων οὐ σπάνιά ἐστιν, οἷον· Εὐριπ. ἱκέτ. 462 ἧττον λάλον σου πεμπέτω τιν' ἄγγελον. Θουκ. IV 114, 4 δοκεῖν ἧσσον... εὔνους ἂν σφίσι γενέσθαι. Θουκ. V 31, 6 καὶ νομίζοντες σφίσι τὴν Ἀργείων δημοκρατίαν αὐτοῖς ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας [1]. Ξενοφ. Παιδ. I 6, 11 ἧττον αἰσχρὸν ἤ εἴ τις. Ἱέρ. 4, 9 ἧττον ἱκανὰ εἰς τὰ ἀναγκαῖα δαπανήματα. Ἀριστοτ. πολιτ. 5, 4 καὶ διὰ τοῦτ' εἰσὶν αἱ μὲν ἧττον αἱ δὲ μᾶλλον μόνιμοι αὐτῶν· οὕτω καὶ πνεῦμα ἧττον λεπτὸν καὶ ἧττον εἰλικρινές, καὶ ἄλλα πολλά.

Ἐν κεφ. 32, 5 εἰπὼν ἡμῖν περὶ μεταφορῶν προστίθησιν· *ἀλλὰ μὴν ἔν γε ταῖς τοπηγορίαις καὶ διαγραφαῖς οὐκ ἄλλο τι οὕτως κατασημαντικόν, ὡς οἱ συνεχεῖς καὶ ἐπάλληλοι τρόποι, δι' ὧν καὶ* παρὰ Ξενοφῶντι *Ἡ τἀνθρωπίνου σκήνους ἀνατομὴ πομπικῶς καὶ ἔτι μᾶλλον ἀναζωγραφεῖται θείως παρὰ τῷ Πλάτωνι.*

τούτοις μακρότατον τεκμήριον ἕπεται ἐκ τῶν τοῦ Πλάτωνος, ἀλλ' οὐδὲ γρῦ παρήνεγκεν ὁ συγγραφεὺς ἐκ τῶν τοῦ Ξενοφῶντος, γνωστὰ κατὰ τὸ εἰκὸς νομίσας αὐτά. ἐντεῦθεν προαιρούμεθα τὴν μετάθεσιν τοῦ ἄρθρου· *δι' ὧν καὶ Ἡ παρὰ Ξενοφῶντι* (τοῦτ' ἔστι γνωστὴ) *τἀνθρωπίνου σκήνους ἀνατομὴ πομπικῶς κτλ.*

Ἐν κεφ. 32, 8 προειπὼν ἡμῖν ὅτι „τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσιν ἐπὶ ταῖς ἀπηνέσι μεταφοραῖς καὶ τῷ

ὁ συγγραφεὺς καὶ ἐν κεφ. 38, 4 ὅθεν καὶ τὰ κωμικά, καίτοι γ' εἰς ἀπιστίαν ἐκπίπτοντα, πιθανὰ διὰ τὸ γελοῖον.

[1] πρβ. καὶ IV 92, 5 ἧσσον ἑτοίμως κατέχειν.

ἀλληγορικῷ στόμφῳ", παρενεγκὼν δὲ καὶ παράδειγμα τοιαύτης ἀλληγορίας καὶ στόμφου φησί·

τοῖς τοιούτοις ἐλαττώμασιν ἐπιχειρῶν ὅμως αὐτὸ Καικίλιος ἐν τοῖς ὑπὲρ Λυσίου συγγράμμασιν ἀπεθάρρησε τῷ παντὶ Λυσίαν ἀμείνω Πλάτωνος ἀποφήνασθαι δυσὶ πάθεσι χρώμενος ἀκρίτοις· φιλῶν γὰρ τὸν Λυσίαν ὡς οὐδ' αὐτὸς αὑτόν, ὅμως μᾶλλον μισεῖ τῷ παντὶ Πλάτωνα ἢ Λυσίαν φιλεῖ. πλὴν οὗτος μὲν ὑπὸ φιλονικίας οὐδὲ τὰ θέματα ὁμολογούμενα καθάπερ ᾠήθη.

τοῦ *ὅμως αὐτὸ* πάμπολλαι μὲν διορθώσεις καὶ εἰκασίαι ἐγένοντο [1], ἥκιστα μέντοι πειστικαί. καθ' ἡμᾶς ἡ ἀρχὴ τοῦ *ΟΜως* πιθανώτατά ἐστιν ἐπανάληψις τῆς καταλήξεως τοῦ προηγουμένου *ἐπιχειρΩΝ*, τοιῷδε λέγω τρόπῳ· *GσιχGρουνουωσαυτο** [2], ὅ ἐ. *επιχειρων[ΟΜ]ωσαυτο** ἢ *επιχειρων[ΟΜ]ωσαυτ*ό*, διὸ καὶ ἀναγινώσκομεν *ἐπιχειρῶν ὡσαύτως* ⟨ὁ⟩ *Καικίλιος κτλ.*

Ἀντὶ τοῦ δευτέρου *τῷ παντί*, ὃ κοινῶς ὀβελίζεται, γραπτέον ἴσως *τῷ ὄντι*, ᾧ καὶ ὁ συγγραφεὺς κατὰ κόρον χρῆται.

Ἕπεται τὸ διεφθαρμένον *καθάπερ ᾠήθη*, μεθ' ὃ ὁ Spengel καὶ ὁ Iahn χάσμα σημειοῦνται. ἁπλῆ τροπὴ τοῦ προηγουμένου *οὗτος* εἰς τὸ ἐπίρρημα *οὕτως* ἀποδίδωσι μὲν νοῦν τινα τῷ χωρίῳ — *ἀλλ' οὕτως μὲν ὑπὸ φιλονικίας οὐδὲ τὰ θέματα ὁμολογούμενα* ⟨ἐστι⟩, *καθάπερ ᾠήθη, at hoc modo ne principia quidem illius iudicio omnibus probantur* — οὐ μέντοι ἀποχρῶσαν καὶ εὔλογον. πιθανώτερον ἴσως ἂν εἴη τὸ *καθάπερ* λείψανον ἢ παραφθορὰν συγκριτικοῦ τινος οὐδετέρου ἡγήσασθαι. τί-

---

[1] ὡς *ὠμῶς* (Morus), *ὠμότατα* (Ruhnken), *ὁμοίως καὶ αὐτὸς* (Weiske), *ὁμοίως αὐτοῦ* (Blass), *ὅμως αὐτόθεν ὁ* (Manutius), *ὁ μισοπλάτων* (Reiske), *ὀλίγοις αὐτίκα* (Kayser).

[2] ἢ ἀμαθῶς καὶ ἀγραμμάτως *GσιχGρουνουωσαυτο**.

νος δέ; ἀκουέσθω ἡμῖν τὰ ἀμέσως ἑπόμενα· ὡς γὰρ ἀναμάρτητον καὶ καθαρὸν τὸν ῥήτορα προφέρει πολλαχῇ διημαρτημένου τοῦ Πλάτωνος ... Φέρε δὴ λάβωμεν τῷ ὄντι καθαρόν τινα συγγραφέα καὶ ἀνέγκλητον· καὶ κατωτέρω (33, 2) ἐγὼ δ' οἶδα μὲν ὡς αἱ ὑπερμεγέθεις φύσεις[1] ἥκιστα καθαραί· τὸ γὰρ ἐν παντὶ ἀκριβὲς κίνδυνος μικρότητος, ἔνθα τὸ καθαρὸν τῷ ἀκριβεῖ ἀντιτίθεται. πρὸς δὲ πρβ. Πλάτ. Φαῖδρ. 763 τὸ καθαρὸν τῆς φράσεως. Διονύσ. Ἁλικαρν. ἐπιστ. πρὸς Γν. Πομπ. 2, 3 ⟨ἡ πλατωνικὴ διάλεκτος⟩ καθαρά τε ἀποχρώντως γίνεται καὶ διαυγὴς ὥσπερ τὰ διαφανέστατα τῶν ναμάτων. αὐτόθι 3, 16 ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος. αὐτόθι 4, 3 καθαρὸς μὲν τοῖς ὀνόμασιν ἱκανῶς καὶ σαφής ⟨ὁ Ξενοφῶν⟩. αὐτόθι 6, 9 καθαρὰ γὰρ ἡ λέξις ⟨τοῦ Θεοπόμπου⟩ καὶ κοινὴ καὶ σαφής, ὑψηλή τε καὶ μεγαλοπρεπής. αὐτόθι 23, 5 τὰς μὲν οὖν ἀναγκαίας ἀρετὰς ἡ λέξις αὐτῶν πάντων ⟨τῶν πρὸ Θουκυδίδου γενομένων συγγραφέων⟩ ἔχει· καὶ γὰρ καθαρὰ καὶ σαφὴς καὶ σύντομός ἐστιν ἀποχρώντως, σώζουσα τὸν ἴδιον ἑκάστης διαλέκτου χαρακτῆρα. αὐτόθι 36, 1 λέξει τε κεκόσμηκεν ⟨ὁ Θουκυδίδης⟩ αὐτοὺς καθαρᾷ καὶ σαφεῖ καὶ συντόμῳ καὶ τὰς ἄλλας ἀρετὰς ἐχούσῃ, καὶ ἀλλαχοῦ δ' ἔτι. ταύτῃ τοίνυν ἀναγνωστέον ἡγούμεθα καὶ ἐνταῦθα· *πλὴν οὗτος μὲν ὑπὸ φιλονικίας οὐδὲ τὰ θέματα* ⟨τὰ;⟩ *ὁμολογούμενα καθαρώτερα*[2] *ᾠήθη*, *sed ille obtrectandi studio ne eos quidem locos, qui omnibus probantur, vitio magis carere putavit.*

Κεφ. 33, 4 *ἐπείτοι γε καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις ποιητής, κἂν τοῖς βουκολικοῖς ... ὁ Θεόκριτος ἐπιτυχέστατος.*

κακῶς νομίζομεν διαγράφεται τὸ *ποιητής*. καὶ γὰρ πολλαχοῦ ὁ συγγραφεὺς φαίνεται ταῖς τοιαύταις μεταθέ-

---

[1] τοῦτ' ἔστιν οἱ μεγαλοφυεῖς συγγραφεῖς.

[2] διαφθαρὲν τρόπῳ τοιῷδε· *ΚΑΘΑρώΤΕΡα, ΚΑΘΑΤΕΡ, ΚΑΘΑΠΕΡ.*

σεσιν ἀρεσκόμενος, ὡς καὶ κατωτέρω 40, 1 ὧν ἓν μὲν οὐδὲν τμηθὲν ἀφ' ἑτέρου καθ' ἑαυτὸ ἀξιόλογον ἔχει. 43, 5 τοὺς τούτων ὅτι πορρωτάτω ὀχετοὺς ἀπέστρεψεν. ἔτι δὲ 4, 3 διὰ τοῦτ' ἔδωκαν δίκην, οὐχ ἥκιστα δι' ἕνα ἄνδρα, ὃς ἀπὸ τοῦ παρανομηθέντος διὰ πατέρων ἦν, Ἑρμοκράτην τὸν Ἕρμωνος. ὅθεν ὑγιῶς ἔχει καὶ ἐνταῦθα τὸ χωρίον· *καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναύταις ποιητής*, ὅ ἐ. *ἄπτωτος — ποιητής*.

Κεφ. 33, 5 *τί δέ; Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ . . . Ἀρχιλόχου πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος κἀκείνης τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύματος, ἣν ὑπὸ νόμον τάξαι δύσκολον, ἆρα δὴ μείζων ποιητής;*

τὸ *κἀκείνης*, ὃ ἀνοικονόμητον ὡς ἀληθῶς καθίστησι τὸ χωρίον [1], λείψανον φαίνεται ὂν δύο λέξεων ἀλλήλαις συγκεχωνευμένων — *ΚΑ ΚΕΙΝΗΣ* — λέγω δὲ τῆς *ἐκεῖνος*, καὶ ἀλλαχοῦ εἰρημένης *κεῖνος* [2], καὶ τῆς κατὰ μέρος ἐκπεσούσης *ἕνεκα*, λεγομένης καὶ *εἵνεκα* (9, 15). Πλάτ. πολιτ. VIII 548, D ἐμπειρίας μὲν ἄρα ἕνεκα κάλλιστα τῶν ἀνδρῶν κρίνει. αὐτόθι 329, B εἰ ἦν τοῦτ' αἴτιον κἂν ἐγὼ τὰ αὐτὰ ταῦτα ἐπεπόνθη ἕνεκά γε γήρως. Δημοσθ. 1, 28 χρηστὰ δ' εἴη παντὸς εἵνεκα, *omnibus adiuvantibus*. Δημοσθ. 24, 65 ἕνεκα ἀναιδείας ἑτοίμως πᾶν ἔργον ποιῆσαι δοκεῖ. κατὰ ταῦτα οἰόμεθα γραπτέον εἶναι καὶ ἐνταῦθα· *πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος ἕνεκα κείνης* [3] *τῆς ἐκβολῆς τοῦ δαιμονίου πνεύματος κτλ.*

Κεφ. 34, 1 *ἔστι γὰρ αὐτοῦ* ⟨Δημοσθένους Ὑπερίδης⟩ *πολυφωνότερος καὶ πλείους ἀρετὰς ἔχων καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν ὡς ὁ πένταθλος.*

---

[1] περὶ τούτου ὁ μὲν Weiske (υἱὸς) εἰκοτολογεῖ *καὶ κινοῦντος ἐξ ἐκείνης*, ὁ δὲ Schurzfleisch *κατακινήσει*, ὁ δὲ Toupius *κακείνῃ τῇ ἐμβολῇ*, ἄλλοι δ' ἄλλα.

[2] 12, 1 διὸ κεῖνο μὲν κἂν νοήματι ἑνὶ κτέ. καὶ 13, 3 ἀπὸ τοῦ ὁμηρικοῦ κείνου νάματος.

[3] *κακὰ (ἐ)κείνης;*

οὐ ῥᾴδιον εἰπεῖν πότερον ὁ συγγραφεύς, κριτὴς ἄγαν ἀκριβολόγος πολλαχοῦ δὲ καὶ μικρολόγος νὴ Δία, τῇ ταὐτολογίᾳ *ΣΧΕΔΟΝ ΥΠακρος* ἐχρήσατο ἢ *σχεδὸν ὕπατος* ἔγραψεν· ἢ ἄρα συνέστη τὸ *σχεδὸν ὕπακρος* ἐκ διαφθορᾶς τῆς φράσεως *σχεδὸν εἰπεῖν ἄκρος* [Πλάτ. σοφιστ. 237, C]; ἐπειδὴ μέντοι ὁ περὶ ὑψηγορίας τεχνογράφος ταῦτα λέγων εἰς τὸν ἀεὶ παραδειγματιζόμενον Πλάτωνα ἀποβλέπειν ἔοικε[1], τὸ χωρίον ἄλλο τι φαίνεται πεπονθέναι· βιβλιογράφος γάρ τις ἑρμηνεύων τὸ *ὕπακρος* παρεσημειώσατο *σχεδὸν ἄκρος*· παρεισδὺν δὲ τοῦτο τὸ ἐξηγητικὸν ἐν ὑστέροις χρόνοις εἰς τὸ κείμενον ἀπετέλεσε τὴν γραφὴν *σχεδὸν ἄκρος ὕπακρος*, ἐξ ἧς οἱ ἀντιγραφεῖς εἰκότως τὸ περιττὸν *ἄκρος* παρέλιπον[2]. κατὰ ταῦτα ὀβελιστέον ἡγούμεθα τὸ *σχεδόν*.

Κεφ. 34, 4 *ἀλλ' ἐπειδήπερ, οἶμαι, τὰ μὲν θατέρου* ⟨Ὑπερίδου⟩ *καλά, καὶ εἰ πολλά, ὅμως ἀμεγέθη καδίηνήφοντος ἀργὰ καὶ τὸν ἀκροατὴν ἠρεμεῖν ἐῶντα κτλ.*

ἀντὶ τοῦ ἐν τῷ κυρίῳ ἀντιγράφῳ, τῷ ἐν Παρισίοις ἀποκειμένῳ, φερομένου *καδίηνήφοντος* ποιοῦσιν οἱ τὸ βιβλίδιον ἐκδεδωκότες *καρδίῃ νήφοντος*, πλημμελῶς μέντοι καὶ ἀλόγως. αὐτὸ γὰρ τοῦτο χαρακτηρίζει τὸν *νήφοντα* ὅτι οὐδὲν ἡ *καρδία* παρ' αὐτῷ δύναται, ἀλλὰ μόνος ὁ λόγος καὶ ὁ νοῦς· διὸ καὶ ἀτόπως τὸ *καρδίῃ* — μάλιστα δὲ ἰωνικῶς — τῷ *νήφοντος* παράκειται. ὅτι μέντοι

[1] Πλάτ. ἐραστ. 138, Δ λέγομεν πένταθλον αὐτὸν δεῖν εἶναι καὶ ὕπακρον τὰ δευτερεῖα δ' ἔχοντα πάντων τὸν φιλόσοφον. αὐτόθι 136, Α ἀπεικάσας αὐτὸν ⟨τὸν φιλόσοφον⟩ τῷ πεντάθλῳ. αὐτόθι 135, Ε οἷον ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι πρὸς τοὺς δρομέας.

[2] τοιαύτας ὑποβολιμαίας ἑρμηνευτικὰς προσθήκας εὕροις ἂν καὶ ἀλλαχοῦ, οἷον 23, 1 „καὶ δὴ Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν διδάξαντι εἰς δάκρυα ἔπεσον οἱ θεώμενοι ἔπεσε τὸ θέητρον". πιθανώτατα καὶ τὸ 10, 7 ὡσανεὶ ψύγματα ἢ ἀραιώματα ἐμποιοῦντα μεγέθη συνοικονομούμενα τῇ πρὸς ἄλληλα σχέσει συντετειχισμένα.

καὶ τῷ κνωδάλῳ *καδίηνίφοντος* ἀνθυποβαλεῖν δέον ἄπορον ὡς ἀληθῶς εἰκάσαι. μὴ ἄρα *καὶ ἴδια νήφοντος;* ἢ — συγχωρουμένης μεταθέσεως δύο συλλαβῶν — *καὶ νὴ Δία πάντως* [ὄντως;] *ἀργά;*

Κεφ. 36, 2 *καὶ τὸ κυριώτατον ὡς εἴγε*[1] *ἐκλέξας τὰ Ὁμήρου τὰ Δημοσθένους τὰ Πλάτωνος τῶν ἄλλων, ὅσοι δὴ μέγιστοι, παραπτώματα πάντα ὁμόσε συναθροίσειεν, ἐλάχιστον ἄν τι μᾶλλον δ' οὐδὲ πολλοστημόριον ἂν εὑρεθείη τῶν ἐκείνοις τοῖς ἥρωσι πάντη κατορθουμένων.*

προφανὲς τὸ σφάλμα· οὐ μὴν ἀλλὰ παραβλητέα τινὰ τῶν ἀλλαχοῦ ὁμοίων παραδειγμάτων· 9, 8 πολλοῖς δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργασται. 17, 1 τῶν ἡμῖν τεθεωρημένων. 40, 2 ἱκανῶς ἡμῖν δεδήλωται. πρὸς τούτοις δὲ καὶ τὸ προηγηθὲν παραπτώματα ἱκανῶς δεικνύει ὅτι ὁ συγγραφεὺς οὐ *κατορθουμένων* ἀλλὰ *κατωρθωμένων* ὅ ἐ. κατορθωμάτων ἔγραψεν.

Κεφ. 36, 4 *ἡ γὰρ ἀλληλουχία τούτων ἴσως γένοιτ' ἂν τὸ τέλειον.*

ἤτοι διορθωτέον *τῇ ἀλληλουχίᾳ*, ὡς ὁ Tollius παρήνεσεν, ἢ γραπτέον γε *ἡ γὰρ ἀλληλουχία τούτων ἴσως γένοιτ' ἄν τι τέλειον, horum enim inter sese coniunctio forsitan perfectum quiddam fiat.*

Κεφ. 38, 3 *μήποτ' οὖν ἄρισται τῶν ὑπερβολῶν, ὡς καὶ ἐπὶ τῶν σχημάτων προείπομεν, αἱ αὐτὸ τοῦτο διαλανθάνουσαι ὅτι εἰσὶν ὑπερβολαί. γίνεται δὲ τὸ τοιόνδε, ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως, ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ.*

---

[1] γραπτέον ἴσως *εἴ τις*, διαφθαρὲν ὧδε· *εἴ* ΤΙϹ, ΤιϹ, ΤϹ, ΤЄ, ΓЄ.

ἄπορον τῷ ὄντι ἐστὶν ἰδεῖν ποῖον τὸ τοῦ *συνεκφωνῶνται* ὑποκείμενον· ἆρα *αἱ λανθάνουσαι ὑπερβολαί;* ἀλλὰ ταὐτολογία τοῦτο ἀλογωτάτη ἂν εἴη. ἔμοιγ' οὖν ὁ συγγραφεὺς δοκεῖ γεγραφέναι· *γίνεται δὲ τὸ τοιόνδε* (τὸ διαλανθάνειν ἐν ταῖς ὑπερβολαῖς), *ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται* ⟨*αἱ;*⟩ *περιστάσεις, id autem tum fit, cum propter animi commotionem cum granditate quadam res enunciantur,* ὅπερ καὶ ἐκ τῶν κατωτέρω δῆλον γίνεται· 38, 4 ἡ ὑπερβολὴ δ' εὐλόγως γεννᾶσθαι πρὸς τοῦ πράγματος ⟨δοκεῖ⟩.

Κεφ. 39, 2 *οὐ γὰρ αὐλὸς μὲν ἐντίθησί τινα πάθη τοῖς ἀκροωμένοις καὶ οἷον ἔκφρονας καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ καὶ βάσιν ἐνδούς τινα ῥυθμοῦ πρὸς ταύτην ἀναγκάζει βαίνειν ἐν ῥυθμῷ καὶ συνεξομοιοῦσθαι τῷ μέλει τὸν ἀκροατήν, κἂν ἄμουσος ᾖ παντάπασι, καὶ νὴ Δία φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς σημαίνοντες . . . θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον . . . οὐκ οἰόμεθα δ' ἄρα τὴν σύνθεσιν ἁρμονίαν τινὰ οὖσαν λόγων ἀνθρώποις ἔμφυτον καὶ τῆς ψυχῆς αὐτῆς, οὐχὶ τῆς ἀκοῆς μόνης ἐφαπτομένην . . . κηλεῖν τε ὁμοῦ καὶ πρὸς ὄγκον τε καὶ ἀξίωμα καὶ ὕψος πᾶν, ὃ ἐν αὑτῇ περιλαμβάνει, ἡμᾶς ἑκάστοτε συνδιατιθέναι παντοίως ἡμῶν τῆς διανοίας ἐπικρατοῦσαν;*

τρέποντές τινες τὸ *οὐ γὰρ* εἰς *τί γάρ;* οὐδαμῶς θεραπεύουσι τὸ κακόν· καὶ γὰρ τοῦτο μᾶλλον ἐν τῷ *αὐλὸς μὲν — οὐκ οἰόμεθα δ' ἄρα* κεῖται. τὸ δὲ *καὶ νὴ Δία φθόγγοι* τί βούλεται; μὴ γὰρ οἱ φθόγγοι κιθάρας ἐνταῦθα τηλικαύτην διαφορὰν ἀποτελοῦσιν, ὥστε ἀναφωνῆσαι *καὶ νὴ Δία;* οὐ μὰ Δία. σαφῆ καὶ ὑγιᾶ νοῦν ὧδε ἂν λάβοι ὁ τόπος·

ὅπου γὰρ αὐλὸς μὲν ἐντίθησί τινα πάθη τοῖς ἀκροωμένοις καὶ οἷον ἔκφρονας καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ . . . κενοὶ δὲ φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς

σημαίνοντες . . . θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον . . . οὐκ οἰόμεθα δ' ἄρα τὴν σύνθεσιν κτλ.

ὅτι δὲ τὸ *κενοὶ φθόγγοι κιθάρας* ὀρθῶς ἔχει δηλοῦται καὶ ἐκ τῶν ἀμέσως ἑπομένων λέξεων *οὐδὲν ἁπλῶς σημαίνοντες*, ὅ ἐ. κενοί.

Καταμεμφόμενος ἐν κεφ. 43, 1 τὸν Θεόπομπον ὡς ὑπερφυῶς σκευάσαντα τὴν τοῦ Πέρσου κατάβασιν εἰς Αἴγυπτον, παραφέρει μακρὰν διήγησιν αὐτοῦ, ἐν ᾗ πάντα τὰ ὡς τὸν βασιλέα κομισθέντα δῶρα ἀπαριθμεῖται· ἀφικόμενος δὲ τῷ λόγῳ ἐπὶ τὰ τοῦ μαγειρείου φησί (43, 2)·

καὶ πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι, πολλοὶ δὲ θύλακοι καὶ σάκκοι καὶ χάρται βυβλίων καὶ τῶν ἄλλων ἁπάντων χρησίμων.

ἀλλὰ τί οἱ *χάρται βυβλίων* παρὰ τοῖς Πέρσαις, μάλιστα δ' ἐν μαγειρείῳ, βούλονται ἀμήχανον ἰδεῖν. τὸ διεφθαρμένον τοῦτο χωρίον, ὃ καὶ παρ' Ἀθηναίῳ κείμενον[1] τὰ αὐτὰ πέπονθε, τοιῷδε τρόπῳ διορθωτέον ἡγούμεθα·

ΚΑΙΧΑΡΤΑΙΒΥΒΛΙΩΝ
ΤΡΥΒΛΙΩΝ

Ἀριστοφ. Ἀχαρν. 278 κεραμεύειν τὰ τρύβλια. Ἀριστοφ. ἱππ. 905 τρύβλιον ῥοφῆσαι (ἔτι δὲ πρβ. ἱππ. 650. σφῆκ. 77. ἐκκλησ. 252. πλοῦτ. 1108). Λουκ. Τίμ. τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων. Γαλην. 14 ὁ τὸ τρύβλιον περιλείχων. Πολυδ. 6, 85 ἐμβάφια καὶ λεκάνια καὶ τρύβλια καὶ ὀξύβαφα, ἐν οἷς τὰ ἡδύσματα ἢ βρώματα.

τὸ δὲ ὑπόλοιπον *καὶ χάρτα* τί δύναται; ἴσως

ΚΑΙ ΧΑΡΤΑ
ΚΑΠΕΙΡΙΑ ὅ ἐ. *κάπειρία*, ὃ οὐκ ἀπίθανον, ἄλλως τε καὶ ἀναγκαιοτάτων σκευῶν τῶν τρυ-

---

[1] Ἀθήν. II 67, F καὶ Θεόπομπος δέ φησι „πολλοὶ μὲν ⟨*μέδιμνοι;*⟩ ἀρτυμάτων, πολλοὶ δὲ σάκκοι καὶ θύλακκοι βιβλίων καὶ τῶν ἄλλων ἁπάντων τῶν χρησίμων πρὸς τὸν βίον."

βλίων ἐν τοῖς μαγειρείοις ὄντων. ὅτι δ' ἐν οἰκονομίᾳ, μάλιστα τῇ τῶν Περσῶν, τῷ ὄντι *ἀπειρία τρυβλίων* ἀναγκαία ἦν οὐκ ἄπορόν ἐστιν εἰκάσαι.

Κεφ. 43, 6 *ἀλλὰ γὰρ οὐκ ἐπ' εἴδους ἐπείγει τὰ μικροποιὰ διαριθμεῖν· προϋποδεδειγμένων γὰρ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς λόγους, δῆλον ὡς τὰ ἐναντία τούτων ταπεινοὺς ποιήσει κατὰ τὸ πλεῖστον καὶ ἀσχήμονας.*

Περὶ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς λόγους ἐγένετο λόγος ἀπὸ τοῦ κεφαλαίου ὀγδόου ἕως τοῦ κεφ. τεσσαρακοστοῦ πρώτου ἢ μᾶλλον ἐξ ἀρχῆς μέχρι τοῦδε — περὶ αὐτοῦ γὰρ τούτου τοῦ ὕψους ὁ λόγος ἐν τῷδε τῷ περὶ ὕψους βιβλίῳ ἐστίν —. ἆρ' οὖν ὑπόδειξις ἢ ἀπόδειξίς ἐστι τοῦτο; ἴσως ὁ συγγραφεὺς ἔγραψε *προαποδεδειγμένων*· τὸ μὲν γὰρ *προϋποδεικνύειν* μεταγενέστερον φαίνεται ἢ ὥστε τὸν ἡμέτερον συγγραφέα τούτῳ κεχρῆσθαι, τὸ δὲ *προαποδεικνύναι* οὐ μόνον παρὰ τοῖς μεταγενεστέροις εὐχρηστεῖ, ὡς Διονύσ. Ἁλικαρν. τέχν. ῥητορ. 10, 18 τῶν προαποδεδειγμένων πραγμάτων. Πλούτ. ἠθικ. συμπ. VIII, 3, 2 νῦν δὲ χρήσεσθαί τισι τῶν προαποδεδειγμένων ὑπ' Ἐπικούρου· ἀλλὰ καὶ παρὰ τοῖς παλαιοῖς αὐτοῖς εὕρηται, ὡς Ἰσοκρ. Νικοκλ. 13 τούτων προαποδειχθέντων.

Κεφ. 44, 5 *ὥσπερ οὖν — εἴγε φησὶ τοῦτο πιστόν ἐστιν ἀκούω — τὰ γλωττόκομα ἐν οἷς οἱ πυγμαῖοι, καλούμενοι δὲ νᾶνοι, τρέφονται, οὐ μόνον κωλύει τῶν ἐγκεκλεισμένων τὰς αὐξήσεις ἀλλὰ καὶ συναιρεῖ* (χειρόγρ. *συνάροι*) *διὰ τὸν περικείμενον τῆς σώμασι δεσμόν, οὕτως κτλ.*

Ἴσως ἐχρήσατο ὁ συγγραφεὺς τῇ φράσει *πιστόν ἐστιν ἀκούειν*[1], *si id credibile est auditu.* ἡ γὰρ διόρ-

---

[1] Σοφ. Οἰδ. βασ. 792 (γένος) ἄτλητον ὁρᾶν *intolerabile*

θωσις *πιστόν ἐστιν ὃ ἀκούω* (Morus), ἢ *πιστὸν ὃ ἀκούω* (Pearce), ἢ *πιστὸν [ἐστὶν] ἀκούω* (Toupius, ᾧ καὶ ὁ Iahn ἕπεται), οὐκ ἔστι πιθανή, ἅτε περιορίζουσα τὴν ἔννοιαν. οὕτω γὰρ ὁ φιλόσοφος φαίνεται μὲν τὰ περὶ τῶν νάνων ἀκηκοώς, ἄδηλον δὲ εἰ ταῦτα καὶ τοῖς πολλοῖς γνωστὰ ἦν. ἀλλὰ πῶς ἂν παραβολήν τίς ποτε ποιούμενος, καὶ ταῦτα φιλόσοφος ὤν, ἐξ ἀγνώστων τοῖς πολλοῖς πραγμάτων τὸ παράδειγμα ἂν λάβοι;

Κεφ. 44, 7 *ἀκολουθεῖ γὰρ τῷ ἀμέτρῳ πλούτῳ καὶ ἀκολάστῳ συνημμένη καὶ ἴσα, φασί, βαίνουσα πολυτέλεια, καὶ ἅμα ἀνοίγοντος ἐκείνου τῶν πόλεων καὶ οἴκων τὰς εἰσόδους, εἰς ἃς ἐμβαίνει καὶ συνοικίζεται.*

τῷ *εἰς ἃς* δοκοῦμεν ἀνθυποβαλεῖν τὸ *εἴσω*· πιθανὸν μέντοι φαίνοιτ' ἂν καὶ τὸ *εἰς ἩΜᾶς*, τῷ νῷ τοῦ ὅλου οὐκ ἀντιμαχόμενον. μικρὸν γὰρ ἀνωτέρω ὁ συγγραφεὺς ἔφθη εἰπών· ἡ φιλοχρηματία πρὸς ἣν ἅπαντες ἀπλήστως νοσοῦμεν, καὶ τὰ συμφυῆ τούτῳ ⟨τῷ πλούτῳ⟩ κακὰ εἰς τὰς ψυχὰς ἡμῶν ἐπεισιόντα· εἶτα δὲ χρονίσαντα ταῦτα ἐν τοῖς βίοις· καὶ κατωτέρω (44, 11) ἔφην εἶναι τῶν νῦν γεννωμένων φύσεων τὴν ῥᾳθυμίαν, ᾗ πλὴν ὀλίγων πάντες ἐγκαταβιοῦμεν. οὐ μὴν ἀλλ' ἡ πρώτη εἰκασία *εἴσω* ἁπλουστέρα καὶ πιθανωτέρα ἡμῖν φαίνεται. πρβ. Ξενοφ. ἀνάβ. II 4, 12 παρῆλθον εἴσω αὐτοῦ (τοῦ τείχους). VII 1, 40 εἴσω τοῦ τείχους ἀπῄει. Θουκ. II 76, 3 προχωροῦντες εἴσω. VI 44, 3 αὐτοὺς εἴσω οὐκ ἐδέχοντο.

Κεφ. 44, 8 *ταῦτα γὰρ οὕτως ἀνάγκη γίνεσθαι καὶ μηκέτι τοὺς ἀνθρώπους ἀναβλέπειν μηδ' ἕτερα φήμης εἶναί τινα λόγον, ἀλλὰ κτλ.*

ὁ Ruhnken καὶ Reiske τρέπουσι τὸ *ἕτερα φήμης* εἰς *ὑστεροφημίας*· ἀλλ' ἁπλούστερον ἡγούμεθα τὸ *ὑστέρας*

---

visu. Πλάτ. Φαῖδρ. 253, Δ λευκὸς ἰδεῖν. Πλάτ. νόμ. 656, Δ θαῦμα καὶ ἀκοῦσαι. Πίνδ. Π. 1, 26 θαῦμα . . . ἀκοῦσαι.

φήμης, πιθανώτατον δὲ τὸ *ἑτέρας φήμης*, εἰ μὴ ἄρα ὁ συγγραφεὺς *μηδ' ἕτερον φήμης εἶναί τινα λόγον* ἔγραψεν.

Κεφ. 44, 11 *ὅλως δὲ δαπανῶν ἔφην εἶναι τῶν νῦν γεννωμένων φύσεων τὴν ῥᾳθυμίαν, ᾗ πλὴν ὀλίγων πάντες ἐγκαταβιοῦμεν.*

τὸ προφανῶς σφαλερὸν καὶ ἄτοπον *δαπανῶν* ἴσως διαφθορά ἐστι τῆς συνήθους φράσεως *διὰ πάντων* ἢ *διὰ πολλῶν* (πρβ. 33, 5 διὰ πάντων γὰρ ἀμώμητον τὸ ποιημάτιον), ἢ καὶ πιθανωτέρα ἐστὶ τῆς ὑπὸ τοῦ Spengel σημειουμένης *διὰ παντός*.

Bonnae typis Caroli Georgi typogr. acad.

Von demselben Verfasser Herrn Dr. A. Jeannarakis — auf Veranlassung der Facultät und sonst anderer Gelehrten in Jannarakis berichtigt — ist ferner erschienen:

Im Verlag von **F. A. Brockhaus** in Leipzig:

Kreta's Volkslieder nebst Distichen und Sprichwörtern in der Ursprache mit Glossar. 8. geh. VII. 388. 8 M.

Von sämmtlichen Recensenten sehr anerkennend besprochen.

In **unserem** Verlage ist erschienen:

Neugriechische Grammatik nebst Lehrbuch der neugr. Volkssprache und einem methodischen Wörteranhang. gr. 8. geh. XXIV. 356. 4 M.

Dieses Werk wird allseitig bezeichnet als eine verdienstvolle, gründliche und glücklich durchgeführte klare Arbeit.

Ferner wird baldigst erscheinen:

Wörterbuch der Deutschen und Neugriechischen Sprache zum Schul- und Privatgebrauch,

worauf folgen wird:

Lessing's Nathan der Weise, eine von der Griechischen Universität zu Athen unter fünfzehn anderen Uebersetzungen ehrenvoll erwähnte metrische Uebertragung ins Neugriechische.

Diese Uebersetzung „besitzt das unbestreitbare Recht der höchsten Treue und Gewissenhaftigkeit in der Bearbeitung. Sie ist ein mustergiltiges Abbild der Gedanken und des Charakters des Dichters.“ —

Die Commission der Professoren.

Hahn'sche Buchhandlung in **Hannover.**

Universitäts-Buchdruckerei von Carl Georgi in Bonn.